ΘΕΟΦΡΑΣΤΟΥ

ΤΟΥ ΠΛΑΤΩΝΟΣ ΜΕΝ ΠΡΩ-

ΤΟΝ, ΕΙΤΑ ΔΕ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΜΑΘΗΤΟΥ

καὶ Λιαδόχου, τὰ μέχρι νῦν σωζόμενα, ἅπαντα.

THEOPHRASTI

PRIMVM QVIDEM PLATONIS, MOX ARISTO telis quoque diſcipuli, & in Philoſophiæ profeſſione ſucceſſoris, omnium uero Philoſophorum, M. Tullij quoq; teſtimonio, elegantiſſimi atq; eruditiſſimi, Opera, quæ quidem à tot ſæculis adhuc reſtant, omnia: ſummo ſtudio

Partim hinc inde conquiſita, atq; in unum ueluti corpus nunc primùm redacta: partim à multis quibus etiam hactenus ſcatebant mendis, doctorum uirorum induſtria ac meliorum exemplarium ope repurgata.

EORVM TVM PRAESTANTIAM, TVM SINGVLORUM *rationem ac ordinem, ex Præfatione, & ſubiecto eidem Catalogo abunde cognoſces.*

Cum Cæſareæ Maieſt. & Chriſtianiſs. Galliarum Regis gratia ac priuilegio ad ſeptennium.

BASILEAE

O-16-f-41
2°-2078

CLARISSIMO VIRO, AC TVM IVRIS VTRIVSQVE, TVM CAETERARVM *quoq; literarum doctissimo,* IOANNI GENENSI, *Domino de Couuignon, nobilitatis totius ornamento singulari,* HIERONYMVS GEMVSAEVS S. D.



RATIOCINABAR dudum mecum, ecquam occasionẽ inuenire liceret, qua meũ erga te animum plenius significare possem. neq; enim uulgarem illum morem aliorum sequi libuit, ut epistola uidelicet sola & uerbis tãtum, officium hoc præstarem: sed maius aliquod, minimeq; statim interiturũ monumentum, animo destinabam. Et dum istud ago, commodùm in manus mihi uenit Opus, quo maius aliud non facilè sibi optare potuisset quisquam: Theophrastus is est, qui tum ex officina Oporini nostri foras proditurus, patronum sibi petere uidebatur, non è uulgaribus scilicet illis aliquem, literatoribus, aut nihil amplius quàm titulum honestatis quempiam, præ se ferentem: sed qui generis sui splendori ac nobilitati, cognitionem quoq; rerum & disciplinarum uariam adiunxisset. Sciebat enim ille: se idoneũ hospitem nemini futurũ esse, qui amplitudinẽ ac maiestatem suæ doctrinæ non agnosceret. Mihi itaq; rectè opinor uisum est, utriq; uestrum neq; ingratum, neq; uulgare officium istud fore, si ad tuas ædes usq; ac Musæum illud omni genere autorum refertum, hunc deduxissem. Nam & illi quos habes generis omnis autores optimos, dum hunc agnoscent, prius lacerum, & tanquam Pentheus quispiam, per frusta uariè dissectum (nam antea in diuersis libris sparsim tantum habebatur) nunc integrum rursus, & in corpus iustum ferè concinnatum, gratulantes excipient. tum ipse quoq;, ubi in illam cæterorum autorum societatem receptus fuerit, agnoscet se rursus, ac ueluti conualescentes solent, totus sese ipsum colliget. Atq; ita demum rogatus fortè à quopiam eorum autorũ, quos bibliotheca tua habet uetustissimos atque optimos, siue is Homerus sit, siue Hesiodus, siue Euripides, aut Sophocles, siue etiam Plato ipse, siue quicunq; eius tempora præcesserunt alij, uerbis talibus, ueluti est apud Poëtam,

εἶπ' ὄνομ' ὅττι σε κεῖθι καλλέον μήτηρ τε πατήρ τε, Odyss. δ.
ἄλλοιθ' οἳ κατ' ἄστυ, καὶ οἱ περὶ ναιετάουσι.
οὐ μὲν γάρ τις πάμπαν ἀνώνυμος ἐστ' ἀνθρώπων.

Tum ipse, imò uel tacente eo alij respondeant, atq; in primis nimirũ Aristoteles· οὗτος ἐστὶ ἐκ τῶν ἐμοῦ γνωρίμων φιλοσόφων, inquiens, τύρταμος πρό- Strab. lib. 13

2°-2078

τερον καλούμενος, μετωνώμασα δ' αὐτὸν Θεόφραστον· ἅμα μὲν φεύγων τὴν τοῦ προτέρου ὀνόματος κακοφωνίαν, ἅμα δὲ τὸν τῆς φράσεως αὐτοῦ ζῆλον ἐπισημανόμενος. ἅπαντας μὲν γὰρ λοιοὺς ἐποίησα τοὺς ἐμοῦ μαθητάς, λογιώτατον δὲ τουτονὶ τὸν Θεόφραστον. Num aliud dicturus cuipiam uidetur Aristoteles? Quin huius quoq; temporis
Gell. lib. 13. Cap. 5 meminerit, Quo annos ferè duo ac sexaginta natus, corpore ægro, ac spe uitaq; tenui cum esset, omnisq; sectatorum ipsius cohors ad eũ accessissent, orãtes ut eligeret loci sui ac magisterij successorem, quo post summum eius diem perinde ac ipso uterentur ad studia doctrinarum complenda excolendaq;, quibus ab eo imbuti fuissent. Cum in eo ludo boni permulti essent, sed præcipui duo, Theophrastus ac Menedemus, ingenio ac doctrina cæteris præstantes, alter ex insula Lesbo, Menedemus è Rhodo, respõdit se facturũ esse quod uellent, cum id sibi foret tempestiuum. Postea breui tempore cum ijdem illi qui de magistro destinando petierant, præsentes essent, uinum petijt, afferentibusq; illis Rhodium ac Lesbium, gustauit utrumq;, & commendauit, μᾶλλον δὲ τὸν λέσβιον. Quo facto nemini dubium fuit, quin lepidè simul ac uerecundè non uinum, sed successorem delegerit. Idipsum quoq; haud dubiè coniectans, quod non multo pòst se uita defuncto, ad Theophrastum omnes cõcesserunt. Hoc itaq; primum erit Aristotelis ipsius testimoniũ. Nam Theophrastus, cum Platonem primum audiuisset, se ad Aristotelem deinde contulit, atque ab eo nomen primò, mox ipso defuncto scholam quoq; ad eum modum accepit. Aristotelis testimonium sequetur encomium Ciceronis. neq; enim ille dissimulare uolet, quæ tum in lib. Tusculanarũ quæst. V. tum alijs in locis passim de Theophrasto scripsit, quibus ipsum elegantiss. philosophorum omniũ atq; eruditissimũ appellare solitus est. Nunquid uero Quintilianus hũc agnoscere uolet, qui in lib. Institutionũ X. ita scribit· In Theophrasto, inquiens, tam est eloquẽdi nitor ille diuinus, ut ex eo nomen quoq; traxisse dicatur. Sed & Plinius, grauissimus ille hominum ac temporum censor, eò usq; hominib. latinis hũc innotescere faciet, ut supra cęteram eius diligentiam, tempora quoq; quibus ille floruit sit expositurus. Sic enim de
Lib. 15. c. 1 eo scribit Plinius: Oleã Theophrastus, celeberrimus è Græcorum autoribus, urbis Romæ anno circiter CCCCXL. negauit nisi intra XXXX. M. pass. à mari nasci. Idem rursus alio in loco · Theo-
Lib. 19. c. 2 phrastus autor est, esse bulbi genus circa ripas amniũ nascens: deinde non multo pòst subdit: Neq; omnino ullam mentionem habet sparti, cuncta cura magna persecutus, CCCCXC annis ante nos, ut alio loco iam diximus. Item loco alio: Theophrastus nonaginta
Lib. 33. c. 7 annis ante Praxibulum Atheniensium magistratũ, quod tẽpus exit in urbis nostræ CCXLIX. annũ, tradidit inuentum minium à Cal-

lia

lia Athenienſe, initio ſperante aurum poſſe excoqui, auro rubente in metallis argenti: hanc fuiſſe originem eius. Sed quid ego perſequar infinita? Totidem enim propè loci ſunt, quibus ille huius autoritate ſuæ hiſtoriæ fidem tueri ſolet. Prætereo Galenum ac cæteros uarios autores, qui quum inter alios ſui generis præſtantiſſimi habeantur, uno tamen ore omnes huiuſce uiri eloquentiam cum admirandæ integritatis eruditione coniunctam certatim laudant, atq; imitari ſtudent. Noſti tu, neq; enim id te latêre arbitror, quem propemodum nihil latet, quale ſit quod Næuianus ille ait Hector:

– lætus ſum Laudari me abs te pater laudato uiro.

Mouit meipſum quoq; hæc ratio: & uel ſola efficere potuit, ut non dubitarim, quin rem tibi pergratã facturus fuerim, ſi talem ad te hoſpitẽ deducerem, qualem certatim quiſq; ſuperiorũ domi ſuæ habere magnopere cupiat. Hæc itaq; de ipſo hoc autore paucis dixiſſe ſatis ſit, quod & apud hominẽ doctũ rem eandem multis agere ſuperuacaneũ uideatur: et quæ reliqua ſunt, ex ipſius uita, quantũ cuiq; libet, nõ multo pòſt cognoſcere licebit. Cæterũ quod ad librorũ qui in hoc opere continentur materiã, tũ ad totius editionis inſtitutũ attinet, uerbis nõ multis perſtrinxiſſe operæpreciũ quoq; eſſe nonnullum ſanè uidetur. In primũ locũ appoſita eſt è Diogene Laertio autoris uita, ubi catalogus quoq; ipſius operũ habetur, ut eo cognito, quid è quoq; genere ipſius operũ ſuperſit, quidúe adhuc perierit, lectori ſtatim compræhendere liceat. Deinde primi ſunt De hiſtoria plantarũ libri nouẽ, & decimi principiũ: De cauſis plantarũ libri ſex, quibus adiuncti ſunt alij duo De plantis. id ſcriptũ præter omniũ expectationẽ noſtris oblatũ non adeò pridem, & excuſum antè, emendationẽ in locis quibuſdã nunc primũ accepit. Ariſtotelicũ autẽ eſſe iſtud opus, uiri noſtra ætate minimè indocti admodũ affirmarunt, quibus ſcilicet in eo ipſo multis modis ſeſe prodere uiſus eſt Ariſtoteles. nã & argumentorũ denſitate, & collectionis fide, et acumine iudicij, & ipſo diſputationes haſce peragendi more, cũ cæteris eius monumentis magnã ſimilitudinis ſpeciẽ habet. Certè, ſiue illi huius, ſiue alterius ſint autoris, ſuperioribus annecti poſſe non ineptè uiſum eſt, quod & materiam cõtineant illis finitimã, & omnino è Peripato prodijſſe ſit exiſtimandum. Sequuntur inde, De lapidibus, De piſcibus, De igne, De uentis, libri ſinguli. Itẽ de aquarũ & uentorũ ſignis liber unus, quẽ priores incerti autoris inſcripſerunt. Ab his deinde habentur, De uertigine lib. unus, De laboribus unus, De odorib. unus, De ſudorib. itẽ unus, & Characteres, ſiue De notis. qui libri prius uariè ſparſi fuerãt, nũc uerò unà cũ cæteris tanq; partibus in unũ corpus coaleſcere cœperũt. Sic τ μετὰ τὰ φυσικὰ liber unus huc appoſitus eſt. Poſtremum uerò omniũ, adiecta eſt Priſciani philoſophi Lydi μετάφρασις, in librũ Thephraſti De ſenſu. itẽ e-

iusdem μεταφρασις alia in librũ Theophrasti De imaginatione & intellectu, quæ olim à Marsilio quidem Ficino in latinam linguam cõuersæ, sed ea lingua qua scriptæ primũ sunt, id est græca, hactenus in lucẽ nondum prodierunt. Quapropter hanc operã non solum ob id gratiorẽ studiosis fore confido, quod uaria huius autoris monumenta, dispersa prius, diligenter congesserit, sed & auctariũ hisce, si nõ mole, at re tamen ipsa locupletissimũ certè adiecerit. Quæ enim in hisce traditur materia, nulli eorũ quæ cęteris in libris tractantur cedere nouit, uel ipso quoq; teste Aristotele, qui reliquã philosophiã tacitus proponit auditoribus, disputationẽ de Anima solam peculiari oratione cõmendandã esse censet. ita enim ait, dignitatẽ eius extollens, τῶν καλῶν καὶ τιμίων τῆς εἴδησιν ὑπολαμβάνοντες, μᾶλλον δὲ ἑτέρας ἢ κατ' ἀκρίβειαν, ἢ τῶν βελτιόνων τε καὶ θαυμασιοτέρων εἶναι. δι' ἀμφότερα ταῦτα τὴν περὶ ψυχῆς ἱστορίαν εὐλόγως ἂν ἐν πρώτοις τιθείημεν. Quod autẽ deinceps de eius utilitate subiungens inquit, δοκεῖ δὲ πρὸς ἀλήθειαν ἁπᾶσαν ἡ γνῶσις αὐτῆς μεγάλα συμβάλλειν, id ego ad uestram quoq; scientiam, quæ de iure est, magnopere pertinere arbitror: quando disputatio illa de Iustitia & æquitate, quæ fons & origo totius uestræ prudentiæ est, principia habet sua atq; hypotheses, in partiũ animæ distributione sitas. Et cũ in triplici numero hæc habeatur (nam una ac summa inter eius partes, ratio est: altera, uis iracunda: tertia, concupiscens facultas) totidem inde uirtutũ principia nascuntur. atq; unũ in ratione uersatur, quæ uirtus Iustitia dicitur: alterum, in parte animi irascibili, Fortitudo dicta: tertium, in concupiscente locatũ est, quam Temperantiã uocant in quarũ uirtutũ distributione generationeq́, Iuris disciplina tota uersari, ac sese occupare uidetur. Proinde ad eã ipsam disciplinam ciuilem exactè tractandam, è disputationibus de Anima, nõ contemnenda, minimeq́ momẽtanea accedit utilitas. Verum cũ non parum difficilis ea cognitio sit (nam id quoq; ait, παντὶ δὲ καὶ πάντως ἐστὶ τῶν χαλεποτάτων λαβεῖν τινὰ πίστιν περὶ αὐτῆς) & ob idipsum uariæ sint atq; incertæ super plerisq; huius materiæ quæstionibus posterorũ Peripateticorũ sentẽtiæ, neq; tamen aliunde certius ac fidelius istæc discere liceat: tutissima sanè eorũ debebit esse sententia, qui ipsum audiuerunt Aristotelem, qualis Theophrastus in primis est: cuius sentẽtiã ubi intellexerimus, perinde fuerit ac si ipsam intueremur Aristotelis mentẽ, cũ & ab eodẽ hunc singula diligenter cognouisse, & sua quoq; industria locupletiora certioraq́ reddidisse quædã par sit. id quod posterorũ ingenia peculiariter demandatum sibi officiũ esse, existimare debent. Hanc tua humanitas animi nostri significationẽ eo candore suscipiet, qualẽ hactenus aduersus omnes bonarũ disciplinarũ studiosos fuisse nouimus. Dabo ego quoq; uicissim operã, ut munus aliquando ad te possim destinare aliud quod dã, nõ minus quàm istud fuerit. quod dũ meditor, Dominus te incolumẽ atq; florentẽ conseruet. Basileæ prid. Cal. Septemb. An. XLI.

ΘΕΟΦΡΑΣΤΟΥ ΒΙΟΣ
ΚΑΤΑ ΔΙΟΓΕΝΗΝ.



ΘΕΟΦΡΑΣΤΟΣ μελαύτα ἐρέσιος, ἰναφὲς ἁός, ὡς φησιν Ἀθηνόδωρος γὲ ὀγδόῳ πολιπάτων. οὗτος πρότερον μὲν ἤκουσε λυκίππου τοῦ πολίτου γὲ τῆς πατρίδι. ἔπειτ' ἀκούσας πλάτωνος, μετέστη πρὸς ἀριστοτέλη. ἰκἀκείνου εἰς χαλκίδα ἀποχωρήσαντος, αὐτὸς διεδέξατο τὴν σχολὴν, ὀλυμπιάδι τετάρτῃ καὶ διακαιτῇ καὶ ἑκατοστῇ. φέρεται δ' αὐτοῦ καὶ δοῦλος φιλόσοφος, ὄνομα πομπύλος, ἰκαθάφησι Μυρωνιανὸς ἀμαστριανὸς γὲ ἐν τῷ πρώτῳ τῶν ὁμοίων ἱστορικῶν διαφαλαίων. ὁ δὲ Θεόφραστος γέγονε γὲ αὐτὸς σωφρονέστατος καὶ φιλοπονώτατος, καὶ ἰκαθάφησι Γάμφιλος γὲ τῷ τριακοστῷ δευτέρῳ τῶν ὑπομνημάτων, διαδοσκαλος μεγαλοπρεποῦς τὰ ἰωμικά, ἄλλως τε καὶ δύσεργετικὸς καὶ φιλολόγος. ἰάσανδρος γοῦν αὐτὸν ἀπεδέξατο, καὶ πτολεμαῖος ἔπεμψεν πρὸς αὐτόν. τοσοῦτον δ' ἀρδιοχῆς ἠξιοῦτο παρὰ ἀθηναίοις, ὥστε ἀγωνίδης πολιτεύσας ἀσεβείας αὐτὸν γράψασθαι, μικροῦ καὶ πεσῶφλεν. ἀπολύτων τε εἰς τὴν διατριβὴν αὐτοῦ μαθητὰς πρὸς διακοσίους. ἔστι δὲ τὰ μὲν ἄλλα καὶ πρὸς διακαιρείου φιλότιμα διείληκται, ἐν τῇ πρὸς φανίαν τὸν περιπατητικὸν σχολῇ· ὁ γὰρ ὅτι πανήγυριν ἐφάδιον, ἀλλ' οὐδὲ σωτήριον οἷον ἰς βούλεται λαβεῖν. αἱ δὲ ἀναγνώσεις ποιοῦσιν ἐπανορθώσεις· τὸ δὲ ἀναβάλλεσθαι πάντα καὶ ἀμελεῖν, οὐκ ἐπὶ φέρουσιν αἱ ἡλικίαι. ἐν ταύτῃ τῇ σχολῇ, σχολαστικὸν ὠνόμακε. τοιοῦτος δὲ ὤν, ὅμως ἀπεδήμησε πρὸς ὀλίγον καὶ οὗτος, καὶ πάντων οἱ λοιποὶ φιλόσοφοι. σοφοκλέους τοῦ ἀθηναίου νόμου εἰσφερομένου, μηδένα τῶν φιλοσόφων σχολῆς ἀφηγεῖσθαι, ἂν μὴ τῇ βουλῇ καὶ τῷ δήμῳ δόξῃ· εἰ δὲ μή, θανάτου εἶναι τὴν ζημίαν. ἀλλὰ αὖθις ἐπανῆλθον εἰς νέωτα, φιλίων τὸν σοφοκλέα γραψαμένου παρανόμων. ὅτε καὶ τὸν νόμον μὲν ἄκυρον ἐποίησαν οἱ ἀθηναῖοι, τὸν δὲ σοφοκλέα ὡγότι παλαύτης ἐζημίωσαν, ἰάθροδον δὲ τοῖς φιλοσόφοις ἐψηφίσαντο· ἵνα καὶ θεόφραστος ἀστέλθῃ, καὶ γὲ τοῖς ὁμοίοις ᾖ. ἔσχε τύραννον λεγόμενον, θεόφρασον δι' ὃ καὶ φράσεως θεατέσιον Ἀριστοτέλης μετωνόμασεν. ὃν καὶ τὸν ἁὸν νικομαχον φησὶν ὁρωτικῶς διατεθεῖναι, ἰαὶ πρὸς ὃν τὰ διαλόγους, Ἀρίσιππος γὲ τεταρτῳ περὶ παλαιᾶς τρυφῆς. λέγεται δ' ἐπ' αὐτοῦ τε καὶ ἰαλλιφάνους τὸ ὅμοιον εἰπεῖν Ἀριστοτέλη, ὅπερ πλάτωνα, ἰαθὰ προείρηται, φασὶν εἰπεῖν ἐπί τε ξενοκράτους καὶ αὐτοῦ τούτου. φαῦλα γὰρ, τὸν μὲν θεοφράστου ἰαδ' ὑπερβολὴν ὀξύτητος, πολλῶν δὲ νωθρῶν τὴν φύσιν ὑπάρχοντος· ὡς δὲ μὲν χαλινοῦ δέοι, τῷ δὲ ἡνίοχου. λέγεται δ' αὐτὸν καὶ ἴδιον ἐπος ποιῆσαι μετὰ τὴν Ἀριστοτέλους τελευτὴν, δημητρίου τοῦ φαληρέως, ὃς ἦν ἐπ' γνώριμος αὐτῷ, σὸν συμπράξαντος. φέρεται δ' αὐτοῦ ἀποφθέγματα ταυτὶ χρώμενα. θᾶττον, ἔφη, πισθήσῃ ἵππῳ ἀχαλίνῳ, ἢ λόγῳ ἀσωτάκῳ. πρὸς δὲ τὸν γὲ τῷ συμποσίῳ σιωπῶντα τὸ ὅλον, ἔφη, εἰ μὲν ἀμαθὴς εἶ, φρονίμως ποιεῖς· εἰ δὲ πεπαίδευσαι, ἀφρόνως. συνεχές τε ἔλεγε, πολυτελὲς ἀναλωμα εἶναι τὸν χρόνον. ἐτελεύτα δὲ γηραιὸς, βιοὺς ἔτη πλείω καὶ ὀγδοήκοντα, ἐπειδὴ πόρρω ἐλλίπον αὐτῷ τὸν πόνων. καὶ ἔσικε τῶν πόνων εἰς αὐτόν,

"ἦ κἀρα σῦρ μάταιον ἐπὶ μορόπων τινὶ λέχθη,
"ῥηγνυσθαι σοφίης τόξον ἀνιέμενον.

δοκεῖ γὰρ καὶ θεόφραστος ἕως ἐπόνει μὲν, ἄριστος ἦν μέλλας, ἔπειτ' ἀνεθεὶς ἀπεθανε πικρομελής.

φασὶ δ' αὐτὸν ἐρωτηθέντα ὑπὸ τῶν μαθητῶν, εἰ ἀποθνήσκοντι ἔπειν, ἀποθνήσκω μὲν ἔχων δόξαν, πολλὴν δὲ πολλὰ τῶν ἀνθρώπων ὁ βίος δοκεῖ τὴν δόξαν καταγελᾶν. ἡμεῖς γὰρ ὅποτε ἤρχόμεθα ζῆν, τότ' ἀπεθνήσκομεν. ὀδὲν δὲν ἀπλῶς τελεσθὲν ὄφελος φιλοσοφίας. ἀλλ' εὐτυχεῖτε. καὶ τοῦτο τὸν λόγον ἄφετε, πολὺς γὰρ ὁ πόνος· ἢ καλῶς αὐτῷ πρόσκειται, μεγάλη γὰρ ἡ δόξα. τὸ δὲ λοιπὸν τοῦ βίου, πλεῖον τοῦ συμφέροντος. ἀλλ' ἐμοὶ μὲν ἀκεστέον ἐκποιεῖ βουλεύεσθαι τι πρακτέον, ὑμεῖς δ' ὑποκύψατε τί ποιητέον. ταῦτα, φασιν, εἰπὼν ἀπέπνευσε. καὶ αὐτὸν, ὡς λόγος, ἀθηναῖοι στεφανηφορήσαντα πρεσβεύσαντα ποσὶ, τὸν ἄνδρα τιμήσαντες. φαβωρῖνος δέ φησι, γηράσαντα αὐτὸν γὲ φορείῳ περιφέρεσθαι, καὶ ὥστε λέγειν Ἕρμιππον, παραπιθέμενον

μένον ἱστορεῖν ἀρκεσίλαον τὸν πιταναῖον, ἐν οἷς ἔφασκε πρὸς λακύδην τὸν κυρηναῖον. κα-
ταλέλοιπε δὲ βιβλία καὶ αὐτὸς ὅτι μάλιστα πάμπλειστα, ἃ καὶ αὐτὰ ἄξιον ἡγησάμην ὑπο-
γράψαι, διὰ τὸ πάσης ἀρετῆς πεπληρῶσθαι. ἔστι δὲ τάδε· ἀναλυτικῶν πρωτέρων, α β γ. ἀνα-
λυτικῶν ὑστέρων, α β γ δ ε ς ζ. περὶ ἀναλύσεως συλλογισμῶν, α. ἀναλυτικῶν ὑπο-
μνή, α. ἀνηγμένων τόπων, α β. ἀγωνιστικῶν, τῆς περὶ τοὺς ἐριστικοὺς λόγους θεωρίας. περὶ αἰσθή-
περὶ τῶν ἀνα- σεως, α. πρὸς ἀναξαγόραν, α. περὶ τῶν ἀναξαγόρου, α. † περὶ τῶν ἀρχελάου, α. περὶ ἁλῶν νί-
ξιμένου, α. τρου στηπτηρίας, α. περὶ τῶν λιθουμένων, α β. περὶ τῶν ἀτόμων γραμμῶν, α. ἀκροάσεως, α β.
περὶ ἀνέμων, α. ἀρετῶν διαφοραί, α. περὶ βασιλείας, α. περὶ παιδείας βασιλέως, α. περὶ
βίων, α β γ. περὶ γήρως, α. περὶ τῆς Δημοκρίτου ἀστρολογίας, α. τῆς μεταρσιολεσχίας, α.
περὶ τῶν εἰδώλων, α. περὶ χυμῶν χροῶν σαρκῶν, α. περὶ τοῦ διακόσμου, α. περὶ τοῦ *
περὶ ἀνθρώπων, α. τῶν διογένους συναγωγή, α. διορισμῶν, α β γ. ἐρωτικός, α. ἄλλο
περὶ ἔρωτος, α. περὶ εὐδαιμονίας, α. περὶ εἰδῶν, α β. περὶ ὑπολήψεως, α. περὶ ἐν-
θουσιασμοῦ, α. περὶ Ἐμπεδοκλέους, α. ὑπεχειρημάτων, α β γ δ ε ς ζ η θ ι,
ια ιβ ιγ ιδ ιε ις ιζ ιη. ἐνστάσεως, α β γ. περὶ ἑκουσίου, α. ὑπτομὴ τῆς πλάτωνος
πολιτείας, α β. περὶ ἑτεροφωνίας ζώων τῶν ὁμογενῶν, α. περὶ τῶν ἀθρόον φαινομένων, α.
φρονεῖν περὶ δακετῶν βλητικῶν α. περὶ τῶν ζώων ὅσα λέγετε † φθονεῖν, α. περὶ τῶν ἐν ξηρῷ διαμενόν-
α β. των, † α. περὶ τῶν τὰς χρόας μεταβαλλόντων, α. περὶ τῶν φωλευόντων, α. περὶ ζώων,
α β γ δ ε ς ζ. περὶ ἡδονῆς, ὡς Ἀριστοτέλης, α. περὶ ἡδονῆς ἄλλο, α. θέσεις, κ δ. περὶ
θερμοῦ καὶ ψυχροῦ, α. περὶ ἰλίγγων καὶ σκοτώσεων, α. περὶ ἱδρῶτος, α. περὶ καταφάσεως καὶ
ἀπφάσεως, α. καλλισθένης, ἢ περὶ πένθους, α. περὶ κόπου, α. περὶ κινήσεως, α β γ.
περὶ λίθων, α. περὶ λοιμῶν, α. περὶ λειποψυχείας, α. μεγαρικός, α. περὶ μελαγχολίας,
α. περὶ μεταλλῶν, α β. περὶ μέλιτος, α. περὶ τῶν μητροδώρου συναγωγῆς, α. μεταρ-
σιολογικῶν, α β. περὶ μέθης, α. νόμων κατὰ στοιχεῖον, κ δ. νόμων ὑπτομῆς, α
β γ δ ε ς ζ η θ ι. πρὸς τοὺς ὁρισμοὺς, α. περὶ ὀσμῶν, α. περὶ οἴνου καὶ ἐλαίου
πρώτων πρωτάσεων, α β γ δ ε ς ζ η θ ι, ια ιβ ιγ ιδ ιε ις ιζ ιη. νομοθετῶν, α β
γ. πολιτικῶν, α β γ δ ε ς. πολιτικῶν πρὸς τοὺς καιροὺς, α β γ δ. πολιτικῶν ἐθῶν, α
β γ δ. περὶ τῆς ἀρίστης πολιτείας, α. προβλημάτων συναγωγῆς, α β γ δ ε. περὶ πα-
ροιμιῶν, α. περὶ τήξεων καὶ πήξεων, α. περὶ πυρός, α β. περὶ πνευμάτων, α. περὶ πα-
α. ραλύσεως, α. περὶ πνιγμοῦ, † α β. περὶ παραφροσύνης, α. περὶ παθῶν, α. περὶ ση-
μείων, α. σοφισμάτων, α β. περὶ συλλογισμῶν λύσεως, α. τοπικῶν, α β. περὶ τιμω-
ρίας, α β. περὶ τριχῶν, α. περὶ τυραννίδος, α. περὶ ὕδατος, α β γ. περὶ ὕπνου καὶ
ἐνυπνίων, α. περὶ φιλίας, α β γ. περὶ φιλοτιμίας, α β. περὶ φύσεως, α β γ. περὶ φυ-
σικῶν, α β γ δ ε ς ζ η θ ι, ια ιβ ιγ ιδ ιε ις ιζ ιη. περὶ φυσικῶν ὑπτομῆς, α
β. φυσικῶν, α β γ δ ε ς ζ η. πρὸς τοὺς φυσικοὺς, α. περὶ φυσικῶν ἱστοριῶν, α β γ δ
ε ς ζ η θ ι. φυσικῶν αἰτιῶν, α β γ δ ε ς ζ η. περὶ χυλῶν, α β γ δ ε. περὶ ψεύ-
δους ἡδονῆς, α. περὶ ψυχῆς, θέσις μία. περὶ τῶν ἀτέχνων πίστεων, α. περὶ τῶν ἁπλῶν δια-
πορημάτων, α. ἁρμονικῶν, α. περὶ ἀρετῆς, α. ἀφορμαὶ ἢ ἐναντιώσεις, α. περὶ ἀπφάσεως, α.
περὶ γνώμης, α. περὶ γελοίου, α. δειληνῶν, α β. διαιρέσεις, α β. περὶ τῶν διαφορῶν, α.
περὶ ἀδι- † περὶ ἐπαίνου, α. περὶ ἐμπειρίας, α. ὑπτολῶν, α β γ. περὶ τῶν αὐτομάτων ζώων, α. πε-
κιῶν, α. ρὶ ἐκκρίσεως, α. ἐγκώμια θεῶν, α. περὶ ἑορτῶν, α. περὶ εὐτυχίας, α. περὶ ἐνθυμημάτων,
α. περὶ εὑρημάτων, α β. ἠθικῶν σχολῶν, α. ἠθικοὶ χαρακτῆρες, α. περὶ θορύβου, α. πε-
ρὶ ἱστορίας, α. περὶ κρίσεως συλλογισμῶν, α. περὶ θαλάττης, α. περὶ κολακείας, α. πρὸς κά-
σανδρον περὶ βασιλείας, α. περὶ κωμῳδίας, α. περὶ μετεώρων, α. περὶ λέξεως, α. λό-
α β γ. γων συναγωγή, α. λύσεις, α. περὶ μουσικῆς, † α β γ δ ε ς. φυσικῶν δοξῶν, α β γ
ιζ. δ ε ς ζ η θ ι ια ιβ ιγ ιδ ιε ις †. φυσικῶν ὑπτομῆς, α. † περὶ ψεύδους καὶ ἀλη-
περὶ χαρι- θοῦς, α. τῶν περὶ τὸ θεῖον ἱστορίας, α β γ δ ε ς. περὶ θεῶν, α β γ. περὶ μέτρων, α. μεγακλῆς,
τος, α. α. περὶ νόμων, α. περὶ πρανόμων, α. τῶν ξενοκράτους συναγωγῆς, α. ὁμιλητικός, α. περὶ
ὅρκου α. παραγγέλματα ῥητορικῆς, α. περὶ πλούτου, α. περὶ ποιητικῆς, α. προβλη-
προιμίων ματα πολιτικὰ, ἠθικὰ, φυσικὰ, ἐρωτικὰ, α. † προοιμίων, α. προβλημάτων συναγωγῆς, α.
περὶ προβλημάτων φυσικῶν, α. περὶ πραδείγματος, α. περὶ προθέσεως καὶ διηγήματος, α.

περὶ

πρὸς ποιητικὴν ἄλλο, α̅. πρὸς τοὺς σοφούς, α̅. πρὸς συμβουλήν, α̅. πρὸς σολοικισμόν, α̅. πρὸς τέχνης ῥητορικῆς, α̅. πρὸς τεχνῶν ῥητορικῶν, εἰσὶν † ι̅ζ̅. πρὸς ὑπομνηματογρ ζ̅.
ἀριστοτελικῶν ἢ θεοφρασικῶν, α̅ β̅ γ̅ δ̅ ε̅ ς̅ †. ἰσορικῶν γεωμετρικῶν, α̅ β̅ γ̅ δ̅. ὧν τὰ μὲν Ἀριστοτέλης πρὸς ζ̅.
Interpres hæc omnia hoc loco inserit, α̅ ϛ̅ γ̅ δ̅ ε̅ ς̅. περὶ θεῶν ἐπιχειρημάτων, α̅ ϛ̅. ζητήσεις, α̅ ϛ̅ γ̅. περὶ βασιλείας, α̅ ϛ̅. περὶ αἰτίας, α̅. περὶ δημοκρίτου, α̅. περὶ διαθέσεως, α̅. περὶ γενέσεως, α̅. περὶ ζώων καὶ ζώων
φωνῆς, νικαύορι. πρὸς δυσεβείας, α̅. δύναμις, α̅. πρὸς ἡδονάς, α̅ β̅. πρὸς οἰκείων λόγων, α̅. πρὸς παίδων ἀγωγῆς, α̅. ἄλλο διαφορᾶς, α̅. πρὸς παιδείας, ἢ περὶ ἀρετῶν, ἢ πρὸς σωφροσύνης, α̅. περὶ ἀριθμῶν, α̅. ὁρισικὰ περὶ λέξεως συλλογισμῶν, α̅. πρὸς ὀρανὸν, α̅. πολιτικῶν, α̅ β̅. περὶ φύσεως, α̅. περὶ ἡδονῆς, † περὶ ζώων, ἃ γίνωνται σίχων μ ζ ω ν̅. τοσαῦτα μὲν
ὧν καὶ τῶνδε τὰ βιβλία. εὗρον δ' αὐτὸν καὶ διαθήκας, ὧδε ἐχούσας τὸν τρόπον· ἔσαι μὲν δὴ. ἐὰν δέ τι συμβῇ, τάδε διατίθεμαι. τὰ μὴ οἴκοι ὑπάρχοντα πάντα, μέλανθι καὶ παγκρέοντι τοῖς ἡμῖν λείουσι. ἀπὸ δὲ τῶν ἐπαρχόντων συμβεβλημένων, τάδε μοι βούλομαι γενέσθαι. τὰ περὶ τὸ μουσεῖον καὶ τὰς θείας σωτελεσθῆναι, ἐὰν εἴ τι ἄλλο δύνατ' πρὸς αὐτὰς ἐπικοσμηθῆναι πρὸς τὸ κάλλιον. ἔπειτα τὴν Ἀριστοτέλης εἰκόνα τεθῆναι εἰς τὸ ἱερόν, καὶ τὰ λοιπὰ ἀναθήματα, ὅσα πρότερον ὑπῆρχεν ἐν τῷ ἱερῷ. εἶτα τὸ σωίδιον οἰκοδομηθῆναι, ὅπως τῷ μουσείῳ, μὴ χεῖρον ἢ πρότερον. ἀναθεῖναι δὲ καὶ οὓς πίνακας, ἐν οἷς αἱ γῆς περίοδοί εἰσιν, εἰς τὴν κάτωσοαν. ὡσκοδομηθῆναι δὲ καὶ τὸν βωμόν, ὅπως ἔχῃ τὸ τέλειον καὶ τὸ εὔχρηστον. βούλομαι δὲ καὶ τὴν † λυκομάχου εἰκόνα σωτελεσθῆναι ἐν ἴσῳ. τὸ μὲν δὴ πλάνεικομαχα
σεως ἔχει πραξιτέλης, τὸ δ' ἄλλο ἀνάλωμα ἀπὸ τούτων γενέσθω. σαθῆναι δὲ, ὅπου ἂν δοκῇ τοῖς καὶ τῶν ἄλλων ὠμελουμένοις τὰ ἐν τῇ διαθήκῃ γεγραμμένων. καὶ τὰ μὲν περὶ τὸ ἱερὸν καὶ τὰ ἀναθήματα, ὅπερ ἔχει τὸν τρόπον. τὸ δὲ χωρίον τὸ ἐν κηπαρίοις ἡμῖν ὑπάρχον, διδόναι λαλλίνῳ, τὰ δὲ βιβλία πάντα νηλεῖ. τὸν δὲ κῆπον, καὶ τὸν περίπατον, καὶ τὰς οἰκείας τὰς πρὸς τὸν κῆπον πάσας, δίδωμι τῶν γεγραμμένων φίλων ἀεὶ τοῖς βουλομένοις συνοχλάζειν καὶ συμφιλοσοφεῖν ἐν αὐτῷ (ἐπειδὴ πόρρω οὐ δυνατὸν ἀεὶ πᾶσιν ἀνθρώποις ὠφελημεῖν) μήτε ἐξαλλοτριοῦσι, μήτε διαζημιοῦσι μηδενός· ἀλλ' ὡς ἂν ἱερὸν κοινῇ κεκτημένοις, καὶ τὰ πρὸς ἀλλήλους οἰκείως καὶ φιλικῶς χρωμένοις, ὥσπερ προσῆκον καὶ δίκαιον. ἔσεσθαι δὲ οἱ κοινωνοῦντες, ἵππαρχος, νηλεύς, στράτων, καλλίνικος, δημόπομπος, σώμβρατος, καλλιδώνης, μέλανθις, παγκρέων, νίκιππος. διδόναι δὲ βουλομένῳ φιλοσοφεῖν καὶ Ἀριστοτέλους τῷ μετοίκου καὶ πιθιάδος υἱῷ, καὶ μετέχειν τούτων. καὶ αὐτοὺς πᾶσαν ὠμέλειαν ποιεῖσθαι σὺν προθυμοτέροις, ὅπως ὅτι μάλιστα προαχθῇ καὶ φιλοσοφία. θάπτειν δὲ καὶ ἡμᾶς, ὅπου ἂν δοκῇ μάλιστα ἁρμόδιον εἶναι τοῦ κήπου, μηδὲν ποιεῖν περὶ τοῦ τάφου, μήτε περὶ τὸ μνημεῖον ποιοῦντας. ὅπως δὲ σωθήσεται, μετὰ τὰ περὶ ἡμᾶς συμβαίνοντα, περὶ τοῦ ἱεροῦ καὶ τοῦ μνημείου καὶ κήπου καὶ τοῦ περιπάτου θεραπεύοντα, σωεπιμελεῖσθαι καὶ πομπύλον ὧδε ποιοῦντα αὐτῷ, καὶ τοῦ τῶν ἄλλων ὠμέλειαν ποιούμενον, ἣν καὶ πρότερον· τὰ δὲ λυσιτελείας ὠμελεῖσθαι αὐτὸν οὐκ ἔχοντας ταῦτα. πομπύλῳ δὲ καὶ θρέπτῃ, πάλαι ἐλευθέροις οὖσι, καὶ ἡμῖν πολλῶν χρείαν παρεσχημένοις, εἴ τι πρότερον ἔχουσι παρ' ἡμῶν, καὶ εἴ τι αὖθις ἐκτήσαντο, καὶ ἃ νῦν παρ' ἐμοῦ παρέχον αὐτοῖς σωτέλεσθαι διακιλίας δραχμὰς, ἀσφαλῶς οἶμαι δεῖν αὐτοὺς ἔχειν ταῦτα, καθάπερ καὶ αὐτοῖς διελέχθην μελάνθῃ καὶ παγκρέοντι πλεονάκις. καὶ πάντα μοι συγκατατίθενται. δίδωμι δ' αὐτοῖς καὶ σωμάτιδάλλιον, καὶ τὸν παιδίσκον. τὰ δὲ παίδων, μόνα ἃ καὶ οἰμῶνα καὶ πρεμένοντα, ἂν ἡ ἐλευθέρους ἀφίημι. μανίων δ', καὶ καλίαν, πραμένανδρος ἐπιτέτραπται ἐν τῷ κήπῳ, καὶ συνεργησάμενος, καὶ αὐαμαρίττος γνώμονας, ἀφίημι ἐλευθέρους. τὰ δ' οἰκιακὰ σκεύη ἀρέσθαι δόντας πομπύλῳ ὅσα ἂν δοκῇ τοῖς ὠμεληταῖς καλὰ ἔχειν, τὰ λοιπὰ ἐξαργυρίσαι. δίδωμι δὲ καὶ καρίωνα δημοσθένους, δύνακα δὲ νηλεῖ, δύον δ' ἀρέσθαι, δίδω δ' ἱππάρχῳ καλλίνῳ βιαχλέος δραχμάς. μέλανθι δὲ καὶ παγκρέοντι,

παρκρέουσι, εἰ μὴ ὀρθῶν ἱππαρχοῦν, καὶ ἡμῖν πρότερον χρέαν πεφυκόσαν, νῦν γὰρ τοῖς ἰδίοις μάλα νεανικότατα, πεφυτάξαμεν αὐτὰ μετὰ μελαίνης καὶ παγκρέοντος ἐξάγμα αὐτά. ἐπεὶ δὴ ὅτε ἐκείνοις ὡρῶμεν ῥᾴδιον ὄντα σωτηρίαν μεῖναι, λυσιτελέστερόν τε αὐτοῖς ὑπολάμβανον εἶναι τεταγμένον λαβεῖν πρὸς ἱππαρχον, πότω δὴ ἵππαρχος μελαίνης παγκρέοντι ἑκατέρῳ τάλαντον. δίδοναι δ' ἱππαρχον καὶ τοῖς ὠμιλητάς, εἰς τὰ ἀναλώματα τὰ γὰρ τῇ διαθήκῃ γεγραμμένα, καὶ αὐτὸς ἐκάστοις ἑκατὸν τὰ πάντων ὑπὲρ τὰ συμβολαίων, τὸ πρὸς ἐμὲ πάντων. καὶ εἴ τι ὧν τὸ ἐμὸν ὄνομα συμβέβηκεν ἱππαρχος γὰρ χαλκίδι, ἱππάρχων ὄντος ἐσαι. ὧν μελητὰ ἦ ἔσωσαν τὰ γὰρ τῇ διαθήκῃ γεγραμμένων, ἱππαρχ, πυλεύς, στράτων, καλλίνος, δημόδημος, καλλιδένης, λεύσαρχος. αἱ δὲ διαθῆκαι λέγεται αὐτίγραφα τοῦ Θεοφράστου πακτυλίῳ σεσημασμένα, μία μὲν παρὰ ἡγησίᾳ ἱππάρχῳ· μάρτυρες, καλλιππος, πελανεύς, φιλόμηλος, δυωνύμας, λύσανδρος, ὑβαλλης, λέων ἀλοπεκῆθεν. τῶν δ' ἑτέραν ἔχει ὀλυμπιόδωρος· μάρτυρες δ' οἱ αὐτοί. τῶν δ' ἑτέραν ἔλαβεν ἀδείμαντος· ἀπολώλεκε δὲ ἀνδροδένης ὁ υἱός. μάρτυρες, ἀδείμαντος λεοβούλου, λυσίστρατος φείδωνος θαλῆς, στράτων ἀρκεσιλάου λαμψακηνός, θησίππος θησίππου ἐκ λαμπσάκου, διοσκουρίδης διονυσίου ὠκυφίσιος. ὧδε ἔχουσιν αὐτοῦ καὶ αἱ διαθῆκαι. ἀκούσαι δ' αὐτὸν καὶ ἐρασίστρατον τὸν ἰατρόν, εἰσὶν οἳ λέγουσι. καὶ εἰκός. διεδέξατο δ' αὐτὸν τῶν σχολῶν στράτων.

ΤΕΛΟΣ.

LIBRORVM THEOPHRASTI OMNIVM QVI HOC Opere continentur, & quos conquirere hactenus summo studio partim impressos antea, partim manu scriptos licuit, Catalogus.

Θεοφράστου βίος κατὰ Διογένη.		THEOPHRASTI VITA SECUNDUM Diogenem.	
Θεοφράστου περὶ φυτῶν ἱστορίας.	βιβλ. ι.	De plantarum historia lib. X.	pag. 1
Περὶ φυτῶν αἰτιῶν.	βιβ. ς.	De plantarum causis, lib. VI.	101
Ἀριστοτέλους περὶ φυτῶν.	βιβ. β.	Aristotelis De plantis, lib. II.	198
Θεοφράστου περὶ λίθων.	βιβ. ᾱ.	Theophr. De lapidibus, lib. I.	215
Περὶ ἰχθύων.	βιβ. ᾱ.	De piscibus, lib. I.	221
Περὶ πυρός.	βιβ. ᾱ.	De igne, lib. I.	223
Περὶ ἀνέμων.	βιβ. ᾱ.	De uentis, lib. I.	231
Περὶ σημείων ὑδάτων καὶ πνευμάτων.		De signis aquarū et uētorū, lib. I.	239
Περὶ ἰλίγγων.	βιβ. ᾱ. (βιβ. ᾱ.	De uertigine oculorum, lib. I.	245
Περὶ κόπων.	βιβ. ᾱ.	De laboribus, lib. I.	247
Περὶ ὀσμῶν.	βιβ. ᾱ.	De odoribus, lib. I.	249
Περὶ ἱδρώτων.	βιβ. ᾱ.	De sudoribus, lib. I. 261 (lib. I.	265
Χαρακτῆρες ἠθικοί.	βιβ. ᾱ.	Characteres morales, siue De notis,	
Τῶν μετὰ τὰ φυσικά.	βιβ. ᾱ.	Metaphysicorum, lib. I.	267
Πρισκιανοῦ φιλοσόφου λυδοῦ μετάφρασις Θεοφράστου περὶ αἰσθήσεως.		Prisciani philosophi Lydi expositio Theophrasti De sensu.	273
Τοῦ αὐτοῦ μετάφρασις, Θεμιστίου περὶ φαντασίας.		Eiusdē expositio, Theophrasti De phantasia.	284

TELOS.



ΘΕΟΦΡΑΣΤΟΥ
ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟ
ΡΙΑΣ ΤΟ Α.



Ὧν φυτῶν τὰς διαφορὰς, καὶ τὸν ἄλλον φύσιν λεκτέον, 1
κατά τε τὰ μέρη, καὶ τὰ παθη, καὶ τὰς γενέσεις, καὶ τοὺς
βίους. ἔθη γὰρ καὶ πράξεις ἔκαστα ἔχουσιν, ὥσπερ τὰ ζῶα. εἰσὶ δ'
αἱ μὲν κατὰ τὸν γενέσιν καὶ τὰ παθη καὶ τοὺς βίους, ζυθεω-
ρητότεραι καὶ ῥᾴους· αἱ δὲ κατὰ μέρη, πλείους ἔχουσαι ποικι-
λίας. αὐτὸ γὰρ τοῦτο πρῶτον οὐχ ἱκανῶς ἀφώρισαι, τὸ, ποῖα
δεῖ μέρη, καὶ μὴ μέρη λαλεῖν· ἀλλ' ἔχει τινὰ ἀπορίαν. τὸ μὲν
οὖν μέρος, ἅπερ ἐκ τῆς ἰδίας φύσεως ὑπάρχει, ἀεὶ δοκεῖ διαμένειν ἢ
ἁπλῶς, ἢ ὅταν γένηται, καθαπερ γε τοῖς ζώοις τὰ ὕστερον
γενησόμενα, πλὴν εἴ τι διὰ νόσον ἢ γῆρας ἢ πήρωσιν ἀφαιρεῖ
10 λεται. τῶν δ' ἐν τοῖς φυτοῖς γένια πολλά ἐστιν, ὥστ' ἐπέτειον ἔχειν τὴν οὐσίαν. οἷον ἄνθος,
βρύον, φύλλον, καρπόν· ἁπλᾶ ὅσα πρὸ τῶν καρπῶν, ἢ ἅμα γίνεται τοῖς καρποῖς· ἔτι δὲ, αὐ-
τὸς ὁ βλαστός. ἀεὶ γὰρ ἐπίφυσιν λαμβάνει τὰ πλάγια κατ' ἐνιαυτὸν, ὁμοίως γέ τε τοῖς ἄνω καὶ
ἐν τοῖς πρὸς τὰς ῥίζας. ὥς τε εἰ μή τις τοῦτα θήσει μέρη, τό, τε πλῆθος ἀόριστον ἔσαι, καὶ οὐδέ-
ποτε οὐδὲν τὸ αὐτὸ τῶν μορίων· εἰ δ' ἅπαξ μὴ μόρια, συμβήσεται δ' ὧν τέλεια γίνεται καὶ φαίνε-
ται, ταῦτα μὴ εἶναι μέρη. βλαστάνοντα γὰρ, καὶ θάλλοντα, καὶ καρπὸν ἔχοντα, πάντα καλ-
λίω καὶ τελειότερα καὶ δοκεῖ καὶ ἔστιν. αἱ μὲν οὖν ἀπορίαι σχεδὸν εἰσὶν αὗται. τάχα δ' οὐχ ὁμοίως
ἅπαντα ζητητέον, ὅτε γε τοῖς ἄλλοις, οὐδ' ὅσα πρὸς τὴν γένεσιν· αὐτά τε τὰ γιγνόμενα, μέ-
ρη θετέον· οἷον τοὺς καρπούς. οὐδὲ γὰρ τὰ ἔμβρυα, τῶν ζώων. εἰ δὲ τῇ ὥρᾳ ὄψει τόγε καλλίστου,
20 οὐδὲν σημεῖον· ἐπεὶ καὶ τῶν ζώων σύθετεῖ κύοντα· πολλὰ δὲ καὶ τὰ μόρια κατ' ἐνιαυτὸν ἀφαλ-
λει, καθάπερ οἱ, τε ἔλαφοι τὰ κέρατα, καὶ τὰ φωλεύοντα τὰ πτερά, καὶ τρίχας τετραπο-
δα. ὥστ' οὐδὲν ἄτοπον, ἄλλως τε καὶ ὁμοιον τῷ φυλλορροεῖν τὸ πάθος. ὡσαύτως δ' οὐδὲ τὰ
πρὸς τὴν γένεσιν. ἐπεὶ καὶ ἐν τοῖς ζώοις τὰ μὲν συνεκτίκτεται, τὰ δ' ἀφαιρεθάρεται καθαπερ
ἀλλότρια τῆς φύσεως. ἔοικε δὲ παραπλησίως καὶ τὰ πρὸς τὴν βλάστησιν ἔχειν. ἡ γάρ τοι
γένεσις, γενέσεως χάριν ὅτι τῆς τελείας. ὅλως δὲ, καθαπερ εἰπομεν, οὐδὲ πάντα ὁμοίως καὶ
ὧδε τῶν ζώων λεκτέον· διὸ καὶ ὁ ἀριθμὸς ἀόριστος. παντα χῆ γὰρ βλαστικὸν, ἅτε καὶ παντα χῆ
ζῶον. ὥστε ταύτας μὲν ὅτως ὑπολεκτέον ὁ μόνον εἰς ταυτὸ, ἀλλὰ καὶ τῶν μελλόντων χάριν.
ὅσα γὰρ μὴ οἷόν τε ἀφομοιοῦν, πορίσματον τὸ γλίχεσθαι πάντως, ἵνα μὴ καὶ τὴν οἰκείαν ἀφαλ
λωμεν θεωρίαν. ἡ δὲ ἰσορία τῶν φυτῶν ὕλη, ὡς ἁπλῶς εἰπεῖν, ἢ κατὰ τὰ ἔξω μόρια καὶ τὴν
30 ὅλην μορφὴν, ἢ κατὰ τὰ γένη, ὥσπερ οἱ τὰ ζῶα τὰ ἐκ τῶν ἀνατομῶν. λεκτέον ἢ γὰρ αὐτοῖς,
ποιά τε πᾶσιν ὑπάρχει ταυτὰ, καὶ ποῖα ἴδια καθ' ἕκασον γένος· ἐπὶ τῶν αὐτῶν, ποῖα ὁμοια.
λέγω δ' ἴδιον, φύλλον, ῥίζαν, φλοιόν. δεῖ δὲ καὶ τοῦτο λαμβάνειν, εἴ τι κατ' ἀναλογίαν θεω-
ρητέον, ὥσπερ ἐπὶ τῶν ζώων τὴν ἀναφορὰν ποιοῦντας, ὅτι ἐνόπτρου πρὸς τὰ ἐμφερέστατα καὶ
τελειότατα. καὶ ἁπλῶς δὲ, ὅσα τῶν γε φυτοῖς ἀφομοιωτέον τῶν γε ζώοις, ὡς ἄνθος * ἀφο-
μοιοῖ. ταῦτα μὲν οὖν διαιρεῖσθω τὸν τρόπον τοῦτον. Αἱ δὲ τῶν μορίων διαφοραὶ σχεδόν, ὡς
τύπῳ λαβεῖν, εἰσὶν γε τρισίν· ἢ τῷ τὰ μὲν ἔχειν, τὰ δὲ μή, καθάπερ φύλλα, καὶ καρπόν· ἢ

τῷ μὴ ὁμοια, μηδὲ ἴζα· ἢ πρίνου, ὃς μὴ ὁμοίως. τούτων δὲ ἡ μὲν ἀνομοιότης δείκνυται σχήματι, χρώματι, τραχυότητι, μανότητι, παχύτητι, λειότητι, καὶ τοῖς ἄλλοις πάθεσιν· ἔστι δὲ, ὅσαι διαφοραὶ τῶν χυλῶν. ἡ δὲ ἀνισότης, ὑπεροχῇ καὶ ἐλλείψει καὶ πλήθει καὶ μεγέθει. ὡς δ' ἐπεῖν τύπῳ, διὰ κεῖνα πάντα διαθ' ὑπεροχὴν καὶ ἔλλειψιν· τὸ γὰρ μᾶλλον καὶ ἧττον, ὑπεροχὴ καὶ ἔλλειψις. ὁ δὲ μὴ ὁμοίως, τῇ θέσει διαφέρει· λέγω δὲ, οἷον τὸ τοὺς καρποὺς τὰ μὲν ἐπάνω, τὰ δ' ὑποκάτω τοῦ φύλλου ἔχειν· καὶ αὖ τοῦ πλήθους, τὰ μὲν διὰ πάντων, τὰ δὲ ἐκ τῶν πλαγίων, ἔνια δὲ καὶ ἐκ τοῦ στελέχους, οἷον ἡ αἰγυπτία συκάμινος· καὶ ὅλα δὴ καὶ ὑπὸ γῆς φέρει καρπόν. οἷον, ἥ τε ἀραχίδνα, καὶ τὸ γῆ αἰγυπτίῳ καλάμινον ὄνιγον· καὶ εἰ τὰ μὲν ἔχει μίσχον, τὰ δὲ μή, καὶ ὕδατι τῶν αὐθέων ὁμοίως· τὰ μὲν γὰρ πρὸς αὐτὸν τὸν καρπόν, τὰ δὲ ἄλλως. ὅλως δὲ, τὸ τῆς θέσεως γῆ τόπος, καὶ τοῖς φύλλοις, καὶ γῆ τοῖς ἔλασσοις καὶ πλείοσι. διαφέρει δὲ ἔνια καὶ τῇ τάξει· τὰ μὲν, ὡς ἔτυχε πῶς ἐλάττης, οἱ κλῶνοι κατ' ἀλλήλους ἑκατέρωθεν· τῶν δὲ ἡ οἱ ὄζοι δι' ἴσου τε κατ' ἀριθμὸν ἴσοι, καθάπερ τῶν πριόζων. ὥστε καὶ τὰς μὴ διαφορὰς ἐκ τούτων λαμβάνειν, ἀφ' ὧν καὶ ὅλη μορφὴ σωζηλάτου καθ' ἕκαστον. Αὐτὰ δ' ἃ τὰ μέρη διαριθμησαμένους, πειρατέον πρῶτ' ἑκάστου λέγειν. ἔστι δὲ πρῶτα μὲν ἡ μίγιστα καὶ ἰδιαίτατα τῶν πλείοσιν, τὰ δὲ ῥίζα, καυλός, ἀκρέμων, ἐλάτη· εἰς ἃ δ' ἴσειεν ἄν τις ὥσπερ εἰς μέρη, καθάπερ ὑπὸ τῶν ζώων. ἕκαστόν τε γὰρ ἀνόμοιον, καὶ ἀφ' ἁπάντων τούτων τε τὰ ὅλα. ἔστι δὲ ῥίζα μὲν, διὸ οὐ πρὸς τοῦτο προσήκει ἐπάγεται. καυλὸς δὲ, εἰς ὃ φέρεται· καυλὸν δὲ λέγω, τὸ ὑπὲρ γῆς πεφυκὸς ὑφ' ἓν. τοῦτο γὰρ ἰδιαίτατον ὁμοίως ἐπετείοις καὶ χρονίοις, ὃ ὑπὸ τῶν πλείοσιν ἐκλείπεται στέλεχος. ἀκρέμονας δὲ, τοὺς ἀφ' οὗ ὀζοῦσι, οὓς γῆροι καλοῦσιν ὄζους. ἐλάτην δὲ, τὸ βλάστημα, τὸ ἐκ τούτων ὑφ' ἓν· οἷον μάλιστα τὸ ἐπέτειον. καὶ ταῦτα μὲν οἰκειότερα τῶν δένδρων. ὁ δὲ καυλὸς, ὥσπερ εἴρηται, ἰδιαίτερος. ἔχει δὲ ὁ πάντα τὰ δὲ τοῦτον, οἷον ἔνια τῶν ποωδῶν, τὰ μὲν ἔχει μίλιν, οὐκ ἀεὶ δὲ, ἀλλ' ἐπέτειον, καὶ ὅλα χρονιώτερον ταῖς ῥίζαις. ὅλην δὲ, πολύχουν τὸ τῶν φυτῶν, καὶ ποίκιλον, καὶ χαλεπὸν εἰπεῖν καθόλου. σημεῖον δὲ τὸ μηδὲν εἶναι ἰδιαίτερον λαβεῖν, ὃ πᾶσιν ὑπάρχει, καθάπερ τοῖς ζώοις σῶμα, ἢ ἰδιαίτερα· τὰ γὰρ αὐταλογία τοιαῦτα, τὰ δ' ἄλλον τρόπον. ὅτε γὰρ ῥίζαν πάντ' ἔχει, ὅτε καυλὸν, ὅτε ἀκρέμονα, ὅτε ἐλάτην, ὅτε φύλλον, ὅτε ἄνθος, ὅτε καρπὸν, ὅτ' αὖ φλοιὸν, ἢ μήτραν, ἢ ἴνας, ἢ φλέβας· οἷον μύκης, οἶδμον. ὧν τόποις δὲ ἡ οὐσία, ἢ ὧν τοῖς τοιούτοις, ἀλλὰ μᾶλλον ταῦτα ὑπάρχει, καθάπερ εἴρηται, τοῖς δ' ἐνύδροις, ἐκείνων οἰκειότερος ὁ μερισμὸς, πρὸς ἃ καὶ τὴν αὐαφορὰν τῶν ἄλλων ποιεῖσθαι δίκαιον. σχεδὸν δὲ καὶ τὰς ἄλλας μορφὰς ἑκάστων ταῦτα διασημαίνει. διαφέρουσι γὰρ πλήθει τόπου, καὶ ὀλιγότητι, καὶ πυκνότητι, καὶ μανότητι, καὶ τόπῳ ἐφ' ἓν ἢ εἰς πλέω σχίζεσθαι τοῖς ἄλλοις τοῖς ὁμοίοις. ἔστι δὲ ἕκαστον τῶν εἰρημένων οὐχ ὁμοιομερές. λέγω δὲ ὁμοιομερὲς, ὅτι ἐκ τῶν αὐτῶν ὅπερ μέρος σύγκειται ἡ ῥίζης, καὶ τὸ στέλεχος· ἀλλ' ὃ λέγεται στέλεχος τὸ λοιπὸν, ἀλλὰ μόριον· ὡς αὐτοῖς τῶν ζώων μέλεσιν ὅτιν, ἐκ τῶν μὲν ὅπερ ἡ ἰνὸς μυὸς ἢ τοῦ ἀγκῶνος, οὐχ ὁμώνυμον δὲ, καθάπερ σάρξ καὶ ὀστοῦν, ἀλλ' ἀνώνυμον· ὃ δὲ δὴ τῶν ἄλλων ὃ δένδρου, ὅλα μονοειδῆ τῶν ὀργανικῶν. ἁπάντων γὰρ τῶν ζώντων αὐώνυμα τὰ μέρη. τῶν δὲ πολυειδῶν, ὠνομασμένα, καθάπερ ποδὸς, χεροὸς, κεφαλῆς, οἷον λάκτυλος, ῥὶς, ὀφθαλμός. τὰ δὲ μέγιστα μέρη, σχεδὸν ταῦτά ὅτιν. Ἄλλα δὲ, ὃς ὧν ταῦτα, φλοιὸς, μήτρα, ξύλα, ἃ ὅλα ἔχει μήτραν. πάντα ὃ ὁμοιομερῆ, καὶ τὰ τούτων δὲ ἕλη πρότερα. ὃς ὧν ταῦτα, ὑγρὸν, ἶς, φλέψ, σάρξ. ἀρχαὶ γῶν αὗται, πλὴν εἴ τις λέγοι τὰς τῶν στοιχείων δυνάμεις· αὗται δὲ ποιναὶ πάντων. ἡ μὲν οὖν σωτηρία καὶ ἡ ὅλη φύσις γῆ τόποις. ἄλλα δ' ὅτιν, ὥσπερ ἐπέτεια μέρη, τὰ πρὸς τὴν καρποβολίαν· οἷον, φύλλον, ἄνθος, μίσχος· ἔτι δ' ὅτιν, ᾧ σωμήκτηται πρὸς τὸ φυτὸν τὸ φύλλον, καὶ ὁ καρπός. ἕλη δὲ ἐλιξ βρύον, οἷς ὑπάρχει. καὶ ὧν πᾶσι κοινὸν τὸ τοῦ καρποῦ.

Καρπὸς δ' ὅτι, τὸ συγκείμενον κοινὸν μετὰ τοῦ πρόκαρπίου. παρὰ ἃ τούτων γίνεσθαι ἴδια ἄττα· καθάπερ ἡ λικνὶς δρυός, καὶ ἡ ἔλιξ, ἀμπέλου. καὶ τοῖς μὴ πλείοσιν ὅτιν ὅτου διαλαβεῖν· τοῖς δ' ἐπετείοις, πλῆθος ὡς ἅπαντα ἐπέτεια· μέχρι γῶν τοῦ καρποῦ ἡ φύσις. ὅλα δὲ ἐπέτεια καρπὸν, καὶ ὅλα διατίζει, καθάπερ σέλινον καὶ ἄλλ' ἄττα, καὶ ὅλα δὲ πλέω χρόνον ἔχει, τόποις ἅπασιν καὶ ὁ καυλὸς ἀκολουθήσει κατὰ λόγον. ὅταν γῶν καρποφορεῖν μέλλωσι, τότε ἐγκαυλοῦσιν· ὡς ἕνεκα τοῦ καρποῦ ὄντων τῶν καυλῶν. ταῦτα μὲν δὴ ταύτῃ διηρήσθω. τῶν δὲ αὖτε εἰρημένων μερῶν πειρατέον ἕκαστον εἰπεῖν, τί ὅτιν, ὡς γῆ τύπῳ λέγοντας. τὸ μὲν δὴ ὑγρὸν φανερὸν,

φανερὸν, ὃ δὲ καλοῦσί τινες ἁπλῶς ἐν ἅπασιν ὀπὸν, ὥσπερ καὶ Μενέστωρ † οἱ δὲ μὲν τοῖς ἄλλοις ἀνωνύμως, ἐν δέτισιν ὀπὸν· καὶ ἐν ἄλλοις δάκρυον. ἶνες δὲ καὶ φλέβες καθ' αὑτὰ γὰρ ἀνώνυμα, τῇ δὲ ὁμοιότητι μεταλαμβάνουσι τῶν ἐν τοῖς ζώοις μορίων· ἔχει δὲ ἴσως καὶ ἄλλας διαφορὰς καὶ ταῦτα, καὶ ὅλως τὸ τῶν φυτῶν γένος. πολύχουν γὰρ, ὥσπερ εἰρήκαμεν. ἀλλ' ἐπεὶ διὰ τῶν γνωρίμων μεταδιώκειν δεῖ τὰ ἀγνώριστα, γνωριμώτερα δὲ τὰ μείζω καὶ ἐμφανῆ τῇ αἰσθήσει δηλονότι, καθάπερ ὑφήγηται, περὶ τούτων λεκτέον. ἐπαναφορὰν γὰρ ἕξομεν τῶν ἄλλων πρὸς ταῦτα, μέχρι πόσου καὶ πῶς ἕκαστα μετέχει τῆς ὁμοιότητος· εἰλημμένων δὲ τῶν μερῶν, μετὰ ταῦτα λεπτέον τὰς τούτων διαφοράς. οὕτω γὰρ ἅμα καὶ ἡ οὐσία φανερὰ, καὶ ἡ ὅλη τῶν γενῶν πρὸς ἄλληλα διάστασις. ἡ μὲν οὖν τῶν μεγίστων, σχεδὸν εἴρηται. λέγω δ' οἷον ῥίζης, καυλοῦ, τῶν ἄλλων. αἱ γὰρ δυνάμεις, καὶ ὧν χάριν ἕκαστον, ὕστερον ῥηθήσονται. ἐξ ὧν γὰρ καὶ ταῦτα καὶ τ' ἄλλα σύγκειται, πειρατέον εἰπεῖν, ἀρξαμένους ἀπὸ τῶν πρώτων. πρῶτα δὲ ἐστὶ, τὸ ὑγρὸν καὶ θερμόν. ἅπαν γὰρ φυτὸν ἔχει τινὰ ὑγρότητα καὶ θερμότητα σύμφυτον, ὥσπερ καὶ ζῶον· ὧν ὑπολιπόντων, γίνεται γῆρας καὶ φθίσις· τελέως δὲ ὑπολιπόντων, θάνατος καὶ αὔανσις. ἐν μὲν οὖν τοῖς πρώτοις ἀνώνυμος ἡ ὑγρότης· ἐν ἐνίοις δὲ ὠνομασμένη, καθάπερ εἴρηται. τὸ αὐτὸ δὲ τοῦτο καὶ ὑπὸ τῶν ζώων ὑπαρχει μόνη γὰρ ἡ τῶν ἐναίμων ὑγρότης ὠνόμασται· διὸ καὶ διήρηται πρὸς τοῦτο στερήσει. τὰ μὲν γὰρ ἄναιμα, τὰ δ' ἔναιμα λέγεται. ἔτι μὲν οὖν τοῦτο τὸ μέρος, καὶ τὸ τούτῳ συνηρτημένον θερμόν. Ἄλλα δὲ εἴδη ἕτερα τῶν ἐντὸς, ἃ καθ' ἑαυτὰ μὲν ἐστὶν ἀνώνυμα, διὰ δὲ τὴν ὁμοιότητα ἀπεικαζεται τοῖς τῶν ζώων μορίοις. ἔχουσι γὰρ ὥσπερ ἶνας, ὃ ἐστι συνεχὲς καὶ σχιστὸν καὶ ἐπίμηκες, ἀπαράβλητον δὲ, καὶ ἄβλαστον, ἔχον φλέβας. αὗται δὲ τὰ μὲν ἄλλα εἰσὶν ὅμοιαι τῇ ἰνὶ, μείζους δὲ καὶ παχύτεραι, καὶ παραβλαστὰς ἔχουσαι καὶ ὑγρότητας· ἔτι ξύλον, καὶ σάρξ. τὰ μὲν γὰρ ἔχει σάρκα, τὰ δὲ ξύλον. ἔστι δὲ τὸ μὲν ξύλον, σχιστόν· ἡ δὲ σάρξ, πάντη διαιρεῖται, ὥσπερ γῆ, καὶ ὅσα γῆς· μεταξὺ δὲ γίνεται ἰνὸς καὶ φλεβός. φανερὰ δὲ ἡ φύσις αὐτῆς ἐν ἄλλοις τε, καὶ ἐν τοῖς τῶν περικαρπίων δέρμασι. φλοιὸς δὲ, καὶ μήτρα, κυρίως μὲν λέγεται. δεῖ δὲ αὐτὰ καὶ τῷ λόγῳ διορίσαι. φλοιὸς μὲν οὖν ἐστι, τὸ ἔσχατον, καὶ χωριστὸν τοῦ ὑποκειμένου σώματος· μήτρα δὲ, τὸ μεταξὺ τοῦ ξύλου, τρίτον ἀπὸ τοῦ φλοιοῦ· οἷον ἐν τοῖς ὀστοῖς μυελός. καλοῦσι δέ τινες τοῦτο καρδίαν, οἱ δὲ μυελόν. τὰ μὲν οὖν μόρια σχεδόν ἐστι τοσαῦτα· σύγκειται δὲ τὰ ὕστερα ἐκ τῶν προτέρων· ξύλον μὲν ἐξ ἰνὸς καὶ ὑγροῦ, καὶ ἐνία σαρκός. ξυλοῦται γὰρ σκληρυνόμενα, οἷον ἐν τοῖς φοίνιξι, καὶ ναρθηξι, καὶ εἴ τι ἄλλο ἐκξυλοῦται, ὥσπερ αἱ τῶν ῥαφανίδων ῥίζαι. μήτρα δὲ, ἐξ ὑγροῦ καὶ σαρκός. φλοιὸς δ' ὁ μέν τις ἐκ πάντων τῶν τριῶν, οἷον ὁ τῆς δρυὸς, καὶ αἰγείρου, καὶ ἀπίου· ὁ δὲ τῆς ἀμπέλου, ἐξ ὑγροῦ καὶ ἰνὸς· ὁ δὲ τοῦ φύλλου, ἐκ σαρκὸς καὶ ὑγροῦ. πάλιν δὲ ἐκ τούτων συνθέτα τὰ μέγιστα καὶ πρῶτα ῥηθέντα, καθαπερανεὶ μέλη, πλὴν οὐκ ἐκ τῶν αὐτῶν πάντα, οὐδὲ ὡσαύτως, ἀλλὰ διαφόρως. εἰλημμένων δὲ πάντων τῶν μορίων, ὡς εἰπεῖν, τὰς τούτων διαφορὰς πειρατέον ἀπὸ διδόναι, καὶ τὰς ὅλων τῶν δένδρων καὶ φυτῶν οὐσίας. Ἐπεὶ δὲ συμβαίνει σαφέστερον ἐὰν τὴν μάθησιν διαιρουμένων κατὰ εἴδη, καλῶς ἔχει τοῦτο ποιεῖν, ἐφ' ὧν ἐνδέχεται. πρῶτα δ' ἐστὶ καὶ μέγιστα, καὶ σχεδὸν ὑφ' ὧν πάντη τὰ πλεῖστα περιέχεται, τάδε· δένδρον, θαμνος, φρύγανον, πόα. δένδρον μὲν οὖν ἐστι, τὸ ἀπὸ ῥίζης μονοστέλεχες, πολύκλαδον, ὀζωτὸν, οὐκ εὐαπόλυτον· οἷον ἐλαία, συκῆ, ἄμπελος. φρύγανον δὲ, τὸ ἀπὸ ῥίζης, καὶ πολυστέλεχες, καὶ πολύκλαδον· οἷον βάτος, παλίουρος. πόα δὲ, τὸ ἀπὸ ῥίζης φυλλοφόρον, προϊὸν ἀστέλεχες, οὗ ὁ καυλὸς σπερμοφόρον· οἷον ὁ σῖτος, καὶ τὰ λάχανα. δεῖ δὲ τοὺς ὅρους οὕτως ἀπὸ δέχεσθαι καὶ λαμβάνειν, ὡς τύπῳ ὡς ὑπὸ τὸ πᾶν λεγομένους. ἔνια γὰρ ἴσως ἐπαλλαττειν δόξειε, τὰ δὲ καὶ παρὰ τὴν ἀγωγὴν ἀλλοιότερα γίνεται καὶ ἐκβαίνει τῆς φύσεως· οἷον μαλάχη τε εἰς ὕψος ἀναγομένη, καὶ ὑποδενδρουμένη. συμβαίνει γὰρ τοῦτο καὶ ὀκ ἐν πολλῷ χρόνῳ, ἀλλ' ἐν ἓξ ἢ ἑπτὰ μησίν, ὥς τε μῆκος καὶ πάχος δορατιαῖον γίνεσθαι, διὸ καὶ βακτηρίαις αὐταῖς χρῶνται. πλείονος δὲ χρόνου γινομένου, κατὰ λόγον ἡ ἀπόδοσις. ὁμοίως δὲ καὶ ὑπὸ τῶν τεύτλων. καὶ γὰρ ταῦτα λαμβάνει μέγεθος· ἔτι δὲ μᾶλλον ἄγνος, καὶ ὁ παλίουρος, καὶ ὁ κιττός, ὥς θ' ὁμολογουμένως ταῦτα γίνεται δένδρα, καίτοι θαμνώδη ἐστίν. ὁ δὲ μύρρινος, μὴ ἀνακαθαιρόμενος ἐκθαμνοῦται. καὶ ἡρακλεωτικὴ καρύα. δοκεῖ δὲ αὔτη γε καὶ τὸν καρπὸν βελτίω καὶ πλείω φέρειν, ἐὰν ῥάβδους τις ἐᾷ πλείους, ὡς τῆς φύσεως θαμνώδους οὔσης. οὐ μονοστέλεχες δ' ἂν δόξειεν οὐδ' ἡ μηλέα, οὐδ' ἡ ῥοιὰ † ἄπιος ἐὰν, οὐδ' οὐδ'

οἱ δὲ ἐν τοῖς ἄλλοις

4

5

ὅλως ὅσα παραβλαστικὰ ἀπὸ τῶν ῥιζῶν· ἀλλὰ τῇ ἀγωγῇ τοιαῦτα, παραιρουμένων τῶν ἄλλων.
ἐλαῖας, καὶ κο- γένια δὲ καὶ ἐῶσι πολυστελεχῆ διὰ λεπτότητα, καθάπερ ῥόαν, μηλέαν. ἐῶσι δὲ καὶ τὰς † ἐλά-
πάδας τὰς τας κοπάδας, καὶ τὰς συκᾶς. τάχα δ' ἄν τις φαίη, καὶ ὅλως μεγέθει καὶ μικρότητι διαιρεῖν
συκᾶς. γένια, τὰ δὲ ἰσχύϊ καὶ ἀσθενείᾳ, καὶ πολυχρονιότητι. τῶν τε γὰρ φρυγανωδῶν καὶ λαχανωδῶν
γένια μονοστελέχη, καὶ οἷον δένδρου φύσιν ἔχοντα γίνεται, καθάπερ ῥαφανὶς, πήγανον. ὅθεν καὶ
καλοῦσί τινες τὰ τοιαῦτα, δενδρολάχανα. τά τε λαχανώδη πάντα, ἢ τὰ πλεῖστα ὅταν ἐγ-
καταμείνῃ, λαμβάνει τινὰς ὥσπερ ἀκρέμονας, καὶ γίνεται τὸ ὅλον ἐν σχήματι δενδρώδει,
6 πλὴν ὀλιγοχρονιώτερα. Διὰ δὴ ταῦτα, ὥσπερ ἐλέγομεν, οὐκ ἀκριβολογητέον τῷ ὅρῳ,
ἀλλὰ τῷ τύπῳ ληπτέον τοὺς ἀφορισμούς· ἐπεὶ καὶ τὰς διαιρέσεις ὁμοίως, οἷον ἡμέρων ἀγρίων,
καρποφόρων ἀκαρπων, ἀνθοφόρων ἀνάνθων, ἀειφύλλων φυλλοβόλων. τὰ μὲν γὰρ ἄγρια
καὶ ἥμερα παρὰ τὴν ἀγωγὴν εἶναι δοκεῖ. πᾶν γὰρ ἄγριον καὶ ἥμερον, φασὶν ἵππων γίνεσθαι,
τυγχάνον καὶ μὴ τυγχάνον θεραπείας· ἄκαρπα δὲ, καὶ καρπιμα, καὶ καρποφόρα ἄνθη
παρὰ τοὺς τόπους καὶ τὸν ἀέρα τὸν περιέχοντα. τὸν αὐτὸν δὲ τρόπον καὶ φυλλοβόλα, καὶ
ἀείφυλλα. περὶ γὰρ ἐλεφαντίνην, οὐδὲ τὰς ἀμπέλους, οὐδὲ τὰς συκᾶς φασὶ φυλλοβολεῖν·
ἀλλ' ὅμως τοῖς αὐτοῖς αἱρετέον. ἔχει γάρ τι τῆς φύσεως κοινὸν, ὁμοίως ἐν δένδροις καὶ θαμ-
νοις καὶ τοῖς φρυγανικοῖς καὶ ποώδεσιν· ὑπὲρ ὧν καὶ τὰς αἰτίας ὅταν τίς λέγῃ, περὶ πάν-
των κοινῇ δηλονότι λεκτέον, οὐχ ὁρίζοντα καθ' ἕκαστον. εὔλογον δὲ, καὶ ταύτας κοινὰς εἶναι
πάντων. ἅμα δὲ καὶ φαίνεταί τινα ἔχειν φυσικὴν διαφορὰν εὐθὺς ὠδὶ τῶν ἀγρίων καὶ τῶν ἡ-
γένια δὲ μερῶν, εἴπερ γένια μὴ δύναται ζῆν, ὥσπερ τὰ γεωργούμενα † μηδόλως δέχεται θερα-
πείαν, ἀλλὰ καὶ χείρω γίνεται, καθάπερ ἐλάτη, πεύκη, λάστρον· καὶ ἁπλῶς, ὅσα ψυχρὸς τό-
πους φιλεῖ, καὶ χιονώδεις. ὡσαύτως δὲ, καὶ τῶν φρυγανικῶν καὶ ποωδῶν, οἷον κάππαρις καὶ
θέρμος. ἥμερον δὲ καὶ ἄγριον δίκαιον καλεῖν, ἀναφέροντα πρός τε ταύτας, καὶ ὅλως πρὸς
7 τὸ ἡμερώτατον. ὁ δὲ ἄνθρωπος, ἢ μόνον, ἢ μάλιστα ἥμερον. Φανεραὶ δὲ καὶ κατὰ ταύτας
τὰς μορφὰς αἱ διαφοραὶ τῶν ὅλων τε καὶ μορίων, οἷον λέγω, μέγεθος καὶ σμικρότης, σκλη-
ρότης μαλακότης, λειότης τραχύτης φλοιοῦ, φύλλων, τῶν ἄλλων ἁπλῶς, εὐμορφία καὶ δυσ-
μορφία τίς· ἔτι δὲ καὶ καλλικαρπία, καὶ κακοκαρπία. πλείω μὲν γὰρ δοκεῖ τὰ ἄγρια φέ-
ρειν, ὥσπερ ἀχρὰς, κότινος· καλλίω δὲ τὰ ἥμερα, καὶ τοὺς χυλοὺς δὲ αὐτοὺς γλυκυτέρους καὶ
Forte ἡδύους † ἰδίους, καὶ τὸ ὅλον ὡς εἰπεῖν εὐκράτους. μᾶλλον αὗται τε δὴ φυσικαί τινες, ὥσπερ εἴρη-
ται, διαφοραὶ, καὶ ἔτι δὴ μᾶλλον τῶν ἀκαρπων καὶ καρποφόρων, καὶ φυλλοβόλων καὶ ἀει-
φύλλων, καὶ ὅσα ἄλλα τοιαῦτα. πάντων δὲ ληπτέον ἀεὶ καὶ πάσας τοῖς τόποις· οὐ γὰρ οὐδ'
οἷόν τε ἴσως ἄλλως. αἱ δὲ τοιαῦται δόξαιεν ἂν γενικόν τινα ποιεῖν χωρισμὸν, οἷον ἐνύδρων
καὶ χερσαίων, ὥσπερ ὠδὶ τῶν ζώων. ἔστι γὰρ γένια τῶν φυτῶν, ἃ οὐ δύναται μὴ ἐν ὑγρῷ ζῆν. διή-
ρηται δ' ἄλλο κατ' ἄλλο γένος τῶν ὑγρῶν, ὥστε τὰ μὲν ἐν τέλμασι, τὰ δὲ ἐν λίμναις,
τὰ δ' ἐν ποταμοῖς, τὰ δὲ καὶ ἐν αὐτῇ τῇ θαλάττῃ φύεσθαι, τὰ μὲν ἐλάττω καὶ ἐν τῇ παρ'
ἡμῖν, τὰ δὲ μείζω περὶ τὴν ἐρυθράν. γένια δὲ, ὥσπερ εἰ καθυγρα καὶ ἕλεια, καθάπερ ἰτέα
καὶ πλάτανος· τὰ δὲ οὐκ ἐν ὕδατι δυνάμενα ζῆν ἐν τούτοις, ἀλλὰ διώκοντα τοὺς ξηροὺς
τόπους. τῶν δ' ἐλαττόνων, ἔστιν ἃ καὶ τοὺς αἰγιαλούς. οὐ μὴν ἀλλὰ καὶ τούτων, εἴ τις ἀκρι-
βολογεῖσθαι θέλει, τὰ μὲν ἂν εὕρη κοινὰ, καὶ ὥσπερ ἀμφίβια, καθάπερ μυῤῥίνην, ἰτέαν,
κλῆθραν· τὰ δὲ καὶ τῶν ὁμολογουμένων χερσαίων, πεφυκότα ποτὲ ἐν τῇ θαλάττῃ βιοῦν,
φοίνικα, σκίλλαν, ἀνθέρικον. ἀλλὰ τὰ τοιαῦτα πάντα, καὶ ὅλως τὸ οὕτω σκοπεῖν, οὐκ οἰ-
κείως ἐστὶ σκοπεῖν· οὐδὲ γὰρ οὐδ' ἡ φύσις οὕτως, οὐδ' ἐν τοῖς τοιούτοις ἔχει τὸ ἀναγ-
καῖον. τὰς μὲν οὖν διαιρέσεις, καὶ ὅλως τὴν ἱστορίαν τῶν φυτῶν οὕτω ληπτέον. ἅπαντα δ'
οὖν καὶ ταῦτα, καὶ τ' ἄλλα διοίσει καθάπερ εἴρηται, ταῖς τε τῶν ἄλλων μορφαῖς, καὶ ταῖς
τῶν μορίων διαφοραῖς· ἢ τοῦ ἔχειν, τὰ δὲ μὴ ἔχειν, ἢ τοῦ πλείω, τὰ δὲ ἐλάττω, ἢ τοῦ ἀνο-
μοίως, ἢ ὅσοι τόποι διήρηνται πρότερον. οἰκεῖον δὲ ἴσως, καὶ τοὺς τόπους συμπαραλαμ-
βάνειν, ἐν οἷς ἕκαστα πέφυκεν, ἢ μὴ πέφυκε γίνεσθαι. μεγάλη γὰρ καὶ αὕτη διαφορὰ, καὶ
οὐχ ἥκιστα, οἰκεῖα τῶν φυτῶν, διὰ τοῦ συνηρτῆσθαι τῇ γῇ, καὶ μὴ ἀπολελύσθαι καθάπερ τὰ
8 ζῶα. Γειρατέον δ' εἰπεῖν τὰς κατὰ μέρος διαφορὰς, ὡς ἂν καθόλου λέγοντας πρῶτον,
καὶ κοινῶς, εἶτα καθ' ἕκαστον, ὕστερον ὠδὶ πλεῖον ὥσπερ ἀναθεωροῦντας. ἔτι δὲ τὰ μὲν ὀρ-
θοφυῆ,

θοφυῆ, καὶ μακροστελέχη, καθάπερ ἐλάτη, πεύκη, κυπάριττος· τὰ δὲ σκολιώτερα, καὶ βραχυστελέχη, οἷον ἰτέα, συκῆ, ῥοιά. καὶ κατὰ πάχος δὲ, καὶ λεπτότητα ὁμοίως. καὶ πάλιν τὰ μὲν μονοστελέχη, τὰ δὲ πολυστελέχη. ὅσπερ δὲ αὐτότροπον, τινὰ καὶ τῷ πραβλαστικὰ ἢ ἀπαράβλαστα εἶναι, καὶ πολυκλαδῆ καὶ ὀλιγόκλαδα, καθάπερ ἡ φοῖνιξ. καὶ γὰρ αὐτοῖς τούτοις, ἔτι κατὰ τὴν ἰσχὺν, ἢ πάχος, ἢ τὰς τοιαύτας διαφοράς. πάλιν τὰ μὲν λεπτόφλοια, καθάπερ δάφνη, φίλλυρα· τὰ δὲ παχύφλοια, καθάπερ δρῦς. ἔτι τὰ μὲν λειόφλοια, καθάπερ μηλέα, συκῆ· τὰ δὲ τραχύφλοια, καθάπερ ἀγρία δρῦς, φελλὸς, φοῖνιξ. ταῦτα δὲ, νέα μὲν ὄντα λειοφλοιότερα, ἀπεγηράσκοντα δὲ παχυφλοιότερα. γένια δὲ καὶ ῥιζόφλοια, καθάπερ ἄμπελος· τὰ δὲ, καὶ ὡς περιπίπτειν, οἷον αὐδραχνη, νηλέια, κόμαρος. ἔστι δὲ καὶ τῶν μὲν σαρκώδης ὁ φλοιὸς, οἷον φελλοῦ, δρυὸς, αἰγείρου· τῶν δὲ ἰνώδης, καὶ ἄσαρκος, ὁμοίως δένδρων καὶ θαμνων καὶ ἐπετείων, οἷον ἀμπέλου, καλαμου, πυροῦ. καὶ τῶν μὲν πολύλοπος, οἷον φιλλύρας, ἐλάτης, ἀμπέλου, λινοσπάρτου, κρομμύων· τῶν δὲ μονόλοπος, οἷον συκῆς, καλάμου, αἴρας. κατὰ μὲν δὴ τοὺς φλοιοὺς, γὰρ τούτοις αἱ διαφοραί. τῶν δὲ ξύλων αὐτῶν, καὶ ὅλως τῶν καυλῶν, οἱ μὲν εἰσὶ σαρκώδεις, οἷον δρυὸς, συκῆς, καὶ τῶν ἐλαττόνων βαλάνου, τεύτλου, κωνίου· οἱ δὲ ἄσαρκοι, καθάπερ κέδρου, λωτοῦ, κυπαρίττου. καὶ οἱ μὲν ἰνώδεις, τὰ μὲν γὰρ τῆς ἐλάτης καὶ τοῦ φοίνικος ξύλα τοιαῦτα· τὰ δὲ μανὰ, καθάπερ τῆς συκῆς. ὡσαύτως δὲ καὶ τὰ μὲν φλεβώδη, τὰ δ' ἄφλεβα. περὶ δὲ τὰ φρυγανικὰ καὶ θαμνώδη, καὶ ὅλως τὰ κλήματα, καὶ ἄλλας τίς ἂν λάβοι διαφοράς. ὁ μὲν γὰρ κάλαμος, γονατώδεσι. ὁ δὲ βάτος, καὶ ὁ παλίουρος, ἀκανθώδη. ἡ δὲ τίφη, καὶ γένια τῶν ἑλείων ἢ λιμναίων, ὁμοίως ἀδιαφρακτα καὶ ὁμαλῆ, καθάπερ σχοῖνος. ὁ δὲ τοῦ κυπείρου καὶ βουτόμου καυλὸς ὁμαλότητά τινα ἔχει παρὰ τούτοις. ἔτι δὲ μᾶλλον ἴσως ὁ τοῦ μύκητος. αὗται μὲν δὴ δόξαιεν ἂν, ἐξ ὧν ἡ συνθέσις. † ἡ δὲ κατὰ τὰ πάθη, καὶ τὰς δυνάμεις· οἷον σκληρότης, γλισχρότης, κραυρότης, μανότης, κουφότης, βαρύτης, καὶ ὅσα ἄλλα τοιαῦτα. ἡ μὲν γὰρ ἰτέα, καὶ χλωρὸν, εὐθὺ, κοῦφον, ὥσπερ ὁ φελλός· ἡ δὲ πύξος, καὶ ἡ ἔβηνος, οὐδὲ αὐανθέντα. καὶ τὰ μὲν σχισθέντα, καθάπερ ὁ τῆς ἐλάτης· τὰ δὲ ἄθραυστα μᾶλλον, οἷον ὁ τῆς ἐλαίας. καὶ τὰ μὲν λοξὰ, οἷον τὰ τῆς ἀκτῆς· τὰ δὲ ὀζώδη, οἷον τὰ τῆς πεύκης καὶ ἐλάτης. δεῖ δὲ καὶ τὰς τοιαύτας ὑπολαμβάνειν τῆς φύσεως. εὔσχιστον μὲν γὰρ ἡ ἐλάτη, τῷ εὐθυπορεῖν· ἄθραυστον δὲ ἡ ἐλαία, διὰ τὸ σκολιὸν καὶ σκληρόν. εὔκαμπτον δὲ ἡ φίλυρα, καὶ ὅσα ἄλλα, διὰ τὸ γλίσχρον ἔχειν τὴν ὑγρότητα. βαρὺ δὲ, ἡ μὲν πύξος, καὶ ἡ ἔβηνος, ὅτι πυκνά· ἡ δὲ δρῦς, ὅτι γεώδες. ὡσαύτως δὲ καὶ τὰ ἄλλα πάντα πρὸς τὴν φύσιν πῶς ἀνάγεται. Διαφέρουσι δὲ καὶ ταῖς μήτραις. πρῶτον μὲν, εἰ γένια ἔχει ἢ μὴ ἔχει, καθάπερ τινὲς φασιν ἄλλά τε καὶ τὴν ἀκτήν. ἐπεὶ καὶ τὰ γὰρ αὐτοῖς τοῖς ἔχουσι. τῶν μὲν γάρ ἐστι σαρκώδης, τῶν δὲ ξυλώδης, τῶν δὲ ὑμενώδης. σαρκώδης μὲν, οἷον ἀμπέλου, σικῆς, μηλέας, ῥοιᾶς, ἀκτῆς, ναρθηκος· ξυλώδης δὲ, πίτυος, ἐλάτης, πεύκης, καὶ μάλιστα αὐτὴ διὰ τὸ γένδαδος εἶναι. τούτων δ' ἔτι σκληρότεραι καὶ πυκνότεραι, κρανίας, πρίνου, δρυὸς, κυτίσσου, συκαμίνων, ἐβένου, λωτοῦ. διαφέρουσι δὲ αὗται καὶ τοῖς χρώμασι· μέλαιναι γὰρ δὴ πᾶσαι, καὶ τῆς δρυὸς, ἣν καλοῦσι μελάνδρυον· ἅπασαι δὲ σκληρότεραι τῶν ξύλων, διὸ καὶ ὑπομένουσι καμπήν· μανότεραι δὲ αἱ μὴ, αἱ δ' οὔ. ὑμενώδεις δὲ, γὰρ μὲν τοῖς δένδροις οὐκ εἰσὶν, ἢ σπάνιοι· γὰρ δὲ τοῖς θαμνώδεσι, καὶ ὅλως τοῖς ὑλήμασιν, οἷον καλάμῳ τε καὶ ναρθηκι, καὶ τοῖς τοιούτοις εἰσίν. ἔχει δὲ τὴν μήτραν, τὰ μὲν μεγάλην καὶ φανερὰν, ὡς πρίνος, δρῦς, καὶ τὰ ἄλλα τὰ προειρημένα· τὰ δὲ ἀφανεστέραν, οἷον ἐλαία, πύξος· οὐ γάρ ἐστιν ἀφωρισμένην οὕτω λαβεῖν. ἀλλὰ καὶ φασί τινες, οὐ κατὰ τὸ μέσον, ἀλλὰ κατὰ τὸ πᾶν ἔχειν, ὥστε μὴ εἶναι τόπον ὡρισμένον· διὸ καὶ γένια οὐδ' ἂν δόξειεν ὅλως ἔχειν, ἐπεὶ καὶ τοῦ φοίνικος οὐδεμία φαίνεται διαφορὰ κατ' οὐδέν. διαφέρουσι δὲ καὶ ταῖς ῥίζαις. τὰ μὲν γὰρ πολύῤῥιζα, καὶ ἀκρόῤῥιζα, καθάπερ σικῆ, δρῦς, πλάτανος· ἐὰν γὰρ ἔχωσι τόπον, ἐφ' ὅσον οὖν προέσχονται. τὰ δὲ ὀλιγόῤῥιζα, καθάπερ * ἐλάτη, ῥοιὰ, μηλέα. τὰ δὲ μονόῤῥιζα, καθάπερ ἐλάτη, πεύκη. μονόῤῥιζα οὕτως, ὅτι μίαν μεγάλην τὴν εἰς βαθὸς ἔχει, μικρὰς δὲ ἀπὸ ταύτης πλείους. ἔχουσι δὲ καὶ τῶν μονοῤῥίζων γένια τὴν ἐκ τοῦ μέσου μεγίστην, καὶ κατὰ βάθους, ὥσπερ ἀμυγδαλαί, ἐλαία † μικρὰν ταύτην, τάς τε ἄλλας μείζους, καὶ ὡς κεκαρκινωμένας. ἔτι δὲ τῶν μὲν παχεῖαι μᾶλλον, τῶν δὲ ἀνωμαλεῖς, καθάπερ δάφνης, ἐλαίας· τῶν δὲ πᾶσαι λεπταί,

καθάπερ ἀμπέλου. διαφέρουσι δὲ καὶ λειότητι, καὶ τραχύτητι, καὶ πυκνότητι. πάντων γὰρ αἱ ῥίζαι μανώτεραι τῶν ἄνω, πυκνότεραι δὲ ἄλλαι ἄλλων, καὶ ξυλωδέστεραι. καὶ αἱ μὲν ἰνώδεις, ὡς αἱ τῆς ἐλάτης· αἱ δὲ σαρκώδεις μᾶλλον, ὥσπερ αἱ τῆς δρυός· αἱ δ' οἷον ὀζώδεις, καὶ θυσανώδεις, ὥσπερ αἱ τῆς ἐλαίας. ὅτι δὲ, ὅτι τὰς λεπτὰς καὶ μικρὰς πολλὰς ἔχουσι, καὶ ἀθρόας. ἐπεὶ πᾶσαι γὲ καὶ ταύτας ἀφφύουσιν ἀφ' τῶν μεγάλων, ἀλλ' οὐχ ὁμοίως ἀθρόας καὶ πολλάς. ἔστι δὲ καὶ τὰ μὲν βαθύῤῥιζα, καθάπερ δρῦς· τὰ δ' ὑπὸ πολαιόῤῥιζα, καθάπερ ἐλαία, ῥοιὰ, μηλέα, κυπάρισσος. ἐπεὶ δ' αἱ μὲν εὐθεῖαι καὶ ὁμαλεῖς, αἱ δὲ σκολιαὶ καὶ παραλλάττουσαι. ὅτι γὰρ οὐ μόνον συμβαίνει διὰ τοὺς τόπους, τοῦ μὴ εὐοδεῖν, ἀλλὰ καὶ τῆς φύσεως αὐτῆς ἐστιν, ὥσπερ ὑπὸ τῆς δάφνης καὶ τῆς ἐλαίας. ἡ δὲ συκῆ καὶ τὰ τοιαῦτα

ἔμμετροι σκολιοῦται, διὰ τὸ μὴ εὐοδεῖν. ἅπασαι δ' † ἔμμετροι, καθάπερ καὶ τὰ στελέχη, καὶ οἱ ἀκρέμονες, καὶ εὔλογον ἀφ' τῆς ἀρχῆς. εἰσὶ δὲ καὶ αἱ μὲν παραβλαστικαὶ εἰς τὸ ἄνω, καθάπερ ἄμπελος, ῥόα· αἱ δὲ ἀπαράβλαστοι, καθάπερ ἐλάτης, κυπαρίττου, πεύκης. αἱ αὐταὶ δὲ διαφοραὶ καὶ τῶν φρυγανικῶν, καὶ τῶν ποωδῶν, καὶ τῶν ἄλλων, πλὴν εἰ ὅλως ἔνια μὴ ἔχει, καθάπερ ὕδνον, μύκης, πύξος, κράνιον. τὰ μὲν πολύῤῥιζα, καθάπερ πυρὸς, τίφη, κριθὴ, πᾶν τὸ τοιοῦτον καθάπερ * εἰκαζούσαν· τὰ δ' ὀλιγόῤῥιζα, καθάπερ τὰ χεδροπά. σχεδὸν δὲ καὶ τῶν λαχανωδῶν τὰ πλεῖστα μονόῤῥιζα, οἷον ῥάφανος, τεῦτλον, σέλινον, λάπαθος. πλὴν ἔνια καὶ ὑπὸ φυάδας ἔχει μεγάλας, οἷον τὸ σέλινον, τὸ τεῦτλον· καὶ ὡς ἂν κατὰ λόγον ταῦτα βαθυῤῥιζότερα τῶν δένδρων. εἰσὶ δὲ τῶν μὲν σαρκώδεις, καθάπερ ῥαφανίδος, γογγυλίδος, ἄρου, κρόκου· τῶν δὲ ξυλώδεις, οἷον εὐζώμου, ὠκύμου, καὶ τῶν ἀγρίων δὲ τῶν πλείστων ὅσω μὴ εὐθὺς πλείους. καὶ σχιζόμενα, καθάπερ πυροῦ, κριθῆς, καὶ τῆς καλουμένης πόας. αὕτη γὰρ ἐν τοῖς ἐπετείοις καὶ ἐν τοῖς ποώδεσιν ἡ διαφορὰ τῶν ῥιζῶν, ὥστε τὰς

καὶ μὲν εὐθὺς σχίζεσθαι, πλείους οὔσας καὶ ὁμαλεῖς· τῶν δὲ ἄλλων μίαν ἢ δύο, τὰς μεγίστας † δὲ ἄλλας ἀφ' τούτων. Ὅλως δὲ, πλείους αἱ διαφοραὶ τῶν ῥιζῶν ἐν τοῖς ὑλήμασι καὶ λαχανώδεσιν. εἰσὶ γὰρ αἱ μὲν λαχανώδεις, ὥσπερ αἱ τοῦ ὠκίμου· αἱ δὲ σαρκώδεις, ὥσπερ αἱ τοῦ τεύτλου, καὶ ἔτι δὴ μᾶλλον τοῦ ἄρου, καὶ ἀσφοδέλου, καὶ κρόκου. αἱ δὲ ὥσπερ ἐκ φλοιοῦ καὶ σαρκός, ὥσπερ αἱ τῶν ῥαφανίδων καὶ γογγυλίδων. αἱ δὲ γονατώδεις, ὥσπερ αἱ τῶν καλαμων καὶ ἀγρώστεων, καὶ εἴ τι καλαμῶδες. καὶ μόναι δὴ αὗται, ἢ μάλισθ' ὅμοιαι τοῖς ὑπὲρ γῆς. ὥσπερ γὰρ καλαμοί εἰσιν, ἐῤῥιζωμένοι ταῖς λεπταῖς. αἱ δὲ λεπυρώδεις, ἢ φλοιώδεις, οἷον οἵ τε τῆς σκίλλης, καὶ τοῦ βολβοῦ, καὶ ἔτι κρομμύου, καὶ τῶν τούτοις ὁμοίων· ἀεὶ γὰρ ἔστι περιαιρεῖν αὐτῶν. πάντα δὲ τὰ τοιαῦτα δοκεῖ καθάπερ δύο γένη ῥιζῶν ἔχειν. τοῖς δὲ, καὶ ὅλως τὰ κεφαλοβαρῆ, καὶ κατάῤῥιζα, τήν τε σαρκώδη ταύτην καὶ φλοιώδη, καθάπερ ἡ σκίλλα, καὶ τῆς ἀφ' ταύτης ἀφπεφυκυίας. οὐ γὰρ λεπτότητι καὶ παχύτητι διαφέρουσι μό-

πλείστων. αἱ γὰρ ῥίζαι φαρμακωδέστεραι, καὶ μᾶλλον ἔχουσι τὴν δύναμιν. ἡ δ' αἰτία δυοῖν
ἐκείνοιν νῦν τηρεῖται, τοῦ τε μὴ καθυγρα, καὶ τοῦ μὴ κατάξηρα γίνεσθαι. τὰ μὲν γὰρ οὐκ
ἔχει πέψιν διὰ τὸ πλῆθος, τὰ δ' οἷον ὕλην εἰς τὴν πέψιν διὰ ξηρότητα. πέψις δὲ ἑκά-
οἰκεῖαν στων ἐστὶν, ὥσπερ εἴρητε, πρὸς τὴν † εἰκεῖαν φύσιν καὶ δύναμιν. ὅτι μὲν οὖν ὥσπερ ἐναντίως,
τῶν μὲν ἄνω, τῶν δὲ κάτω συμβαίνει οὐδὲ χυλοὺς καὶ τὰς ὀσμὰς καὶ ἁπλῶς τὰς τοιαύτας δυ-
νάμεις, ἐκ τῶν εἰρημένων δεῖ θεωρεῖν. ὅτι δ' οὐκ ἐν αὐτοῖς ἄνω πᾶσιν, οὔθ' οἱ χυλοὶ τυγ-
χάνουσιν, οὔθ' αἱ ὀσμαὶ, σχεδὸν οὐ πόῤῥω τῶν εἰρημένων, εἰ τινῶν εἰσιν. ὡς μὲν γὰρ ἁπλῶς εἰ-
πεῖν, ἔχει τὴν ὁμοιότητα καὶ κατὰ οὐδὲ χυλοὺς, καὶ κατὰ τὰς ὀσμὰς ἕκαστον τῶν μερῶν. διαφέ-
ρει δὲ τὸ μᾶλλον καὶ ἧττον. ἐμφανὲς δὲ οὐδὲν μάλιστα ὑπὸ τῶν ἀκρατεστέρων ταῖς ὀσμαῖς καὶ
τοῖς χυλοῖς, οἷον ἐλάτης, πεύκης, κυπαρίττου, πίτυος· ἔτι δὲ τῶν εἰρημένων, συκῆς. ἐν τοῖς
ὑδαρεστέροις δὲ οὐχ ὁμοίως. ἀλλ' ἐν τούτοις καὶ διαφέρουσιν, ὥστε τὰ μὲν ἔγχυλα, τὰ δὲ ἄχυ-
λα, καὶ δύσχυλα, καὶ εὔοσμα, τὰ δὲ ἄοσμα γίνονται. καὶ διαφέροντα δὲ ταῖς ὀσμαῖς καὶ
τοῖς χυλοῖς, ὥσπερ τῆς ἀμπέλου τό, τε οἴναρον καὶ ὁ βότρυς. καὶ ἁπλῶς δὲ πάντων καὶ τῶν
φύλλων καὶ τῶν καρπῶν. αἴτιον δ' ὅτι τὸ μὲν ἄπεπτον, τὸ δὲ πεπεμμένον· ταχὰ δὲ μᾶλ-
λον, ὅτι οὐδὲ ἐκ τῆς αὐτῆς ὕλης ἑκάτερον, ἀλλὰ τὸ μὲν ὥσπερ ἐκ καθαρᾶς τινος καὶ εἰλικρινοῦς,
τὰ δ' ἐκ περιττωματικῆς. εἰσὶ δ' ἐκ βλοσυροτέρας καὶ σωματωδεστέρας οἱ βλαστοὶ καὶ ἀκρέμο-

νες, καὶ

νες, καὶ ὁ ὅλος ὄγκος· ὥστ' ἀνομοίων ὀσῶν, ἀνόμοιον καὶ τὸ τέλος ἑκάστου πρὸς τῆς ἰδίαν φύσιν, ὥσπερ ἐν τοῖς ζώοις· ἴσως δ' ἀναπαλιν. ἐπεὶ καὶ τὸ τέλος ἑκάστου ἴδιον, καὶ ἡ ὕλη διαφορος. ὡς δ' ἁπλῶς εἰπεῖν, πάντων πρὸς τὴν ὑποκειμένην φύσιν. ἐπεὶ δ' αὖτε διαφοροι καὶ κατὰ χυλοὺς καὶ ὀσμὰς καὶ ἀοσμίας, ἡ δ' ἀναφορὰ πρὸς τῆς ἡμετέραν αἴσθησιν, ἐν ταύτῃ παραλλαγὴ γίνετε τῶν μερῶν. οὐδὲν γὰρ κωλύει, τῆς μὲν ἐν τοῖς φύλλοις κρασιν ἐνίοτε σύμμετρον εἶναι τῇ γεύσει, τὴν δ' ἐν τοῖς καρποῖς ἀσύμμετρον, καὶ σφοδροτέραν ἢ κατὰ στρυφνότητα καὶ αὐστηρίαν, ἢ κατὰ πικρότητα καὶ ἄλλην τινὰ διάθεσιν. ὅπερ φανερὸν καὶ ὑπὲρ τῶν λαχάνων ἐστί. τὰ μὲν γὰρ σύμμετρα καὶ προσφιλῆ, τὰ δὲ σπέρματα δριμέα καὶ πικρότερα, καὶ τὸ ὅλον ἰσχυρότερα πρὸς τῆς αἴσθησιν, ὥστε σχεδὸν ἀνάπαλιν ἔχειν καὶ ὑπὲρ τῶν δένδρων καὶ ὑπὲρ τοῦ σίτου. τῶν μὲν γὰρ οἱ καρποὶ χρήσιμοι, τὰ δὲ φύλλα ἀχρεῖα· τῶν δὲ ταῦτα μόνον χρήσιμα, τὰ δὲ ἄλλως ἂν ὑπὲρ φαρμάκου λόγον. ὅπερ οὖν ὑπὲρ τούτων, οὐδὲν κωλύει καὶ ὑπὲρ τῆς φιλύρας, καὶ ἐπ' ἄλλων δένδρων τινῶν, ὁ μὲν καρπὸς ἄβρωτος, τὸ δὲ φύλλον γλυκὺ καὶ βρωτόν. ἐκεῖνο μὲν γὰρ ἄκρατον ἔχει καὶ καθαρὸν τῆς φύσεως. εἴτε γὰρ ξηρὸς ἄγαν καὶ ξυλώδης, εἴτ' αὐστηρὸς καὶ πικρὸς, ἢ κακώδης, καὶ ἄλλην τινὰ ἔχων δυσχέρειαν, ἄβρωτος γίνετε. τὸ δὲ φύλλον ὑγρότερον ὂν, καὶ ἅμα κρεμάμενον, ἔχει τινὰ συμμετρίαν· ὃ καὶ ὑπὲρ τοῦ σιλφίου, καὶ ἄλλ' δριμέων ἐστίν. ἡδὺ γὰρ τὸ φύλλον αὐτοῦ, καὶ ὁ καρπὸς ἁπαλὸς ὢν διὰ τὴν ὑγρότητα τὴν ὑπάρχουσαν. σύμμετρος γὰρ ἡ δριμύτης γίνετε, κραθεῖσα τῷ ὑδατώδει, καὶ ποιεῖ τινα χυλόν. ἀπὸ ξηραινομένου δὲ, σφοδρότερον καὶ ἡ τοῦ σπέρματος διέστη μᾶλλον. Ὅλως δ' ἐν πολλοῖς τοιοῦτ' ἔστιν, ὥστε χλωρὰ μὲν ὄντα βρωτὰ γίνεσθαι, καὶ ἔχειν τινὰ χυλὸν διὰ τὸ ἀναμεμίχθαι τῷ ὑδατώδει· καταξηρόμενα δὲ, καὶ λυομένης τῆς βρώσεως, ἄβρωτα. καὶ γὰρ οἱ τῶν ἀμπέλων βλαστοὶ, καὶ οἱ τῶν ἀκρεμόνων, ἔτι δὲ ἄλλων τινῶν ἀκανθωδῶν, καὶ τῶν χεδροπῶν δ' ἐνίων, οἷον ὤχρων, κυάμων, καὶ ἁπλῶς ὅσα γλυκύτητά τινα ἔχει. σχεδὸν δ' ἐστὶ κοινὸν τοῦτο ὑπὲρ πάντων, ὧν στρυφνότεροι καὶ πικρότεροι καθ' αὑτοὺς οἱ χυλοί. κεραννύμενοι γὰρ ὑπὸ τῆς φύσεως τῷ ὑδατώδει, βελτίους καὶ γλυκυτέρους ποιοῦσι τοὺς χυλούς· ὅπερ καὶ ὑπὲρ τῶν μύρτων γίνετε, καὶ τῶν ῥοῶν. εἰδὲ τι τῶν δένδρων καὶ ὅλως τῶν ὑλημάτων τοιαύτη φύσις ἐστὶν, ὥστε τοὺς μὲν καρποὺς ἀμίκτους ποιεῖν, ἔχοντας τὴν οἰκείαν δύναμιν καθαρὰν, τὰ δὲ φύλλα καὶ ἄλλο τι τῶν μορίων μικρὰ, τούτων οὐδὲν κωλύει, καθάπερ εἴρητε, τὰ μὲν φύλλα βρωτὰ, τὴν δὲ καρπὸν ἄβρωτον εἶναι. παραπλήσιον δὲ τι τούτοις καὶ ὑπὲρ τῶν ῥιζῶν τῶν ἐδωδίμων ἐστίν, ὧν τὰ μὲν φύλλα σχεδὸν ἄβρωτα, διὰ τὸ ξηρὰ εἶναι καὶ ἀκανθώδη· οἱ δὲ καυλοὶ ἐδώδιμοι, αὐταὶ δὲ αἱ ῥίζαι καὶ ἰδιαίτατα ἀνάπαλιν. τὰ μὲν ἄλλα βρώματά τε ἔχοντα καὶ τὴν ἡδονὴν, αἱ ῥίζαι δὲ ἄβρωτοι διὰ τὸ ξυλῶδες καὶ πικρὸν, ἢ ὅλως δύσχυλον ἢ ἄχυλον. διαφορὰ δὲ οὐ μικρὰ καὶ διὰ τὰς φύσεις τῶν ζώων. τὰ μὲν γὰρ ἡμῖν ἄχυλα τοῖς ἄλλοις ἔγχυλα φαίνετε, διὰ τὴν ἰσχὺν καὶ τὴν κατεργασίαν. ἄλλοις κἀκεῖνα προσφιλῆ, καὶ κατὰ τοὺς χυλοὺς καὶ κατὰ τὰς διαθέσεις. χαίρει γὰρ τὰ μὲν τοῖς ἁπαλοῖς, τὰ δὲ τοῖς ξηροῖς μᾶλλον. ἔνια δὲ καὶ ἀναπαλιν, ἁπαλὰ μὲν ὄντα, καὶ ἄβρωτα· ξηραινόμενα δὲ, ἐδώδιμα, διὰ τὸ συνεκπέττεσθαι καὶ ἐκκρίνεσθαι τὸ πικρὸν ὑπὸ τοῦ ἡλίου· καθάπερ τὸ σήσαμον, καὶ τὸ ἐρύσαμον. τούτων γὰρ χλορῶν ὄντων οὐδὲν ἅπτεσθαι δοκεῖ ζῶον, διὰ τὴν πικρότητα καὶ δυσχυλίαν· ξηρανθέντων δὲ μᾶλλον, οἱ δὲ καρποὶ καὶ ἡδεῖς. ἀλλὰ δὴ τούτων μὲν, τοιαῦταί τινες αἰτίαι. περὶ δὲ τῶν καρπῶν τῶν τροφίμων δηλονότι, ῥάων ὁ λόγος. οὗτοι γὰρ καθαροὶ καὶ εἰλικρινεῖς, οἷον ἐξηνθημένοι πως ὑπὸ τῆς φύσεως, ὥστε πλείοσι καὶ μᾶλλον ἁρμόττειν. Ἀλλ' ὑπὲρ τῶν φαρμακωδῶν, καὶ ὅλως κατὰ τὰς δυνάμεις θεωρητέον. καὶ γὰρ ἐν τούτοις οὐδ' αἱ αὐταὶ δυνάμεις, οὔτ' ἴσαι πάντων εὐθὺς ἀπὸ τῶν ῥιζῶν ἀρχομένοις. οὐδὲ δὴ τοῖς ἄνω πᾶσιν, οἷον φύλλοις καὶ κλωσὶ καὶ καρποῖς, καὶ τὸ μὲν τῷ μᾶλλον καὶ ἧττον διάφορον, ἔχει τιν' εὐλογίαν· τὸ δ' ὅλως ἔνια μὴ δὲ δύνασθαι ποιεῖν, ὥσπερ τὰ τῶν ῥιζῶν σπέρματα καὶ τοὺς καυλοὺς, ἢ πάλιν τὰ τῶν φύλλων τοὺς καρποὺς καὶ τὰς ῥίζας, μᾶλλόν τις θαυμάσειε. τὰς δ' αἰτίας καὶ ἐν τοῖς εἰρημένοις ἀνασκεπτέον. ἑκάστου γὰρ ἰδία κράσις οὖσα καὶ φύσις, διαφόρους ποιεῖ καὶ τὰς δυνάμεις, ὥστε τὰ μὲν συντήκειν καὶ διακρίνειν, τὰ δὲ μή· καὶ τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον, καὶ θερμαίνειν τε καὶ πέττειν, καὶ ψύχειν καὶ ξηραίνειν, καὶ τ' ἄλλα ὡσαύτως. τὸ δὲ δὴ μάλιστα τοὺς καρποὺς εἶναι τοιούτους, οὐκ ἄλογον· εἴπερ μηδ' ἡ ὅλη φύσις ὁμοία ῥίζης τε καὶ καρποῦ, καὶ τῶν ἄλλων μορίων· ἀλλὰ τὰ μὲν ὅλως ἄπεπτα, τὰ δὲ πεπεμμένα, καὶ ὅλως ἐκ πλειόνων σύνθετα· διὸ καὶ τοῖς χυλοῖς καὶ ταῖς δυνάμεσιν ἕτερα. τοῦτο γὰρ ὑπὲρ τῶν ἀγρίων καὶ τῶν

ἡμέρων

ἡμέρων ὁρῶμεν, ὧν αἱ ῥίζαι πικραί· καὶ ὀπώδεις, τούτων οὐ καρποὶ γλυκεῖς, ὡς ἂν ἐξ ἀπέπτου χυμοῦ τοιούτου ὄντας. ταυτὶ δὲ γε τοῖς τὰ φαρμακώδη διωκημένοις συμβαίνειν. ὥστε δι' ἃ λέγομεν, εἰς ἔνια μὲν τὰς ῥίζας ἰσχύειν μᾶλλον, εἰς ἔνια δὲ τὰ λοιπὰ μέρη, ἐπεὶ καὶ ῥίζαι ῥιζῶν γε τοῖς ὁμογενέσι, καὶ σπέρματα σπερμάτων, καὶ τἄλλα μέρη πολὺ διαφέρουσιν ἰσχύι, διὰ τὰ αἴρα ἑκάστης χώρας· ὡς περὶ Κύπρον ὁ σίπυ, καὶ οἱ ἄλλοι καρποί, τῇ βαρύτητι καὶ κουφότητι. διὰ τὰ φάρμακα φαρμάκων ἀμείνω, καὶ οὐ τόποις ὁ μακρὰν ἀπέχοντας· οἷον ὁ ἐκ τῆς οἴτης ἑλλέβορος τὴν τῷ πάγασῳ. δοκεῖ γὰρ ἰσχυρότερος εἶναι ὅρος, καὶ ὁ χ ἁρμόττειν εἰς τὴν χρείαν. ἢ ἡ ἰσχὺς ἐκ πλαπλησίας χυλοῦ αἰτίας γίνεται, καὶ ὑδατότητος. καὶ γὰρ γίνεσθαι σκληρότητί τε τοῦ αἵρος καὶ πλήθει τροφῆς βαρεῖς γίνονται, διὰ τὸ πολὺ τὸ γεῶδες ἔχειν, ὥσπερ οἱ γε τῇ Βοιωτίᾳ· διὰπαρεῖ διὰ τὰς ὁμοίας αἰτίας. ἄλλη πῶς ἄλλων δύναμιν οἰκείαν χώρα, καθάπερ ὑδατότητος. ἔνια γὰρ οὐδὲ ἐκπίπτουσιν ὅλως τὰς φαρμακώδεις. ἐπεὶ πολλαχοῦ καὶ μέλας ἑλλέβορός ἐστι, καὶ ἄλλαι τινὲς ῥιζῶν, ἀλλὰ μελαίναι καὶ διαυγεῖς ἴνες. ἢ καὶ δόξειεν ἂν ψυχρὸν εἶναι ἅμα καὶ δύπνον διὰ τροφῆς συμμέτρου. φαίνεται δ' ὄν, γε τοῖς ὄρεσι πλείσας φαρμακὰ γίνεσθαι, καὶ γε τοῖς ὑψηλοτάτοις καὶ μεγίστοις μάλιστα. καὶ περὶ μὲν τούτων, ἱκανῶς εἰρήσθω. Περὶ δὲ τοῦ μὴ ὀπτᾶν, ἐπειδὴ καὶ αὖται μέρη γίνονται, τὰς αὐτὰς καὶ πλαπλησίας αἰτίας ἔχουσιν. ἡ γὰρ πίψις τοῖς μὲν γε ἐπὶ ἄνθει μᾶλλον, τοῖς δὲ καὶ γε τῷ καρπῷ, τοῖς δὲ καὶ γε τοῖς φύλλοις καὶ γε τοῖς κλωσὶ γίνεται, τοῖς μὲν γε τοῖς ὑλαρέσι, καὶ ὥσπερ γε τοῖς ἀχύλοις ἢ δριμέσιν. γε τοῖς ἄνθεσιν, οἷον ῥόδῳ, κρόκῳ, καὶ τοῖς τοιούτοις. ὅσα δὲ αὐτῶν μὴ δύχυλα, καὶ γε ταῖς ὀσμαῖς ἐμφαίνει γέ τινα βαρύτητα, καθαπερ τὸ κρίνον, καὶ τὸ λείριον, καὶ τὰ πλαπλήσια τούτοις. ἔνια δ' ὅλως οὐδ' δυσμίαν, ἀλλὰ βαρύτητα ἔχει τοῦ ὀσφρήσειν· καὶ φανερόν, ὡς ἀπὸ τοῦ χυλοῦ πως γίνεται, καὶ οὐκ ἔστιν ἀπηρτημένον τὸ τῆς ὀσμῆς. ὅσα γὰρ ὑδαρῆ, ἄχυλα καὶ ἄοσμα ὡς ἐπίπαν. γὰρ δυσὶ γὰρ τούτοις, ὡς εἰπεῖν, ἡ ἀοσμία, τῷ τε τοῦ χυλοῦ ὑδαρῆ εἶναι φύσιν, καὶ τῷ πολὺ τὸ ὑδατῶδες. τὸ μὲν γὰρ ὥσπερ ἄμικτον, τὸ δ' ὑπὸ τοῦ πλήθους ἀφανίζεται· διὸ βρόπον ἐστὶ καὶ τοῦτ' ὥσπερ ἄμικτον. γὰρ μίξει δέ τινι, καὶ τὸ τῆς ὀσμῆς. ὅσα δὲ γε τροφῇ πλείονι βλασυροτέρᾳ, καθάπερ τὰ λιμναῖα, ταῦτα καὶ τὰς ὀσμὰς ἔχει πλαπλησίας, βαρείας ἐστὶν καὶ βολεραῖς. ἐπεὶ δὲν τῶν μὴ γε ταῖς ῥίζαις ἡ τοιαύτη μίξις καὶ συμμετρία, τῶν δὲ γε τοῖς κλωσὶ καὶ τοῖς φύλλοις, τοῦ δὲ γε τοῖς καρποῖς, πλεῖσον δὲ γε τοῖς ἄνθεσιν, δύλογος δύοσμα ταῦτ' ἑκάστων. καὶ διὰ τοῦτ' γε τοῖς πίνδροις τὰ ἐλαττω τοῦ αὐθῶν δύοσμα, καὶ ἧττον γε τοῖς ἄλλοις, ὁλοσχερῶς πλείω καὶ ὑγρότης. εἰ μή, ζητητέον αἰτίαν. ἴσως μὲν δὴν καθόλου καὶ ἁπλῶς εἴρηται. ὡς δὲ καθ' ἕκαστα δεῖ σκοπεῖν τὰς εἰρημένας συμμετρίας, ὅτι ἂν δόξειεν ἀλόγως γε τῷ ἄνθει τοῖς πλείοσι. γὰρ ἐστὶν ἡ πρώτη καὶ ἐλαφροτάτη πίψις, ἀποξηραινομένου δ' ἅμα καὶ μεταβάλλοντος. ὅταν δὲ εἰς τοῦτο τὸ καρπὸν ἔλθῃ πλείονος τὸ ὑγρότητος ὄσης, ὅπερ ἐστὶν τὸ τῆς ὀσμῆς, ἐφ' ᾧ μὴ φύσει διὰ τοῦτο ὁ χυλός. ὡς δ' ὧδε τὸ πάντα ἐστὶν ἡ δύοσμία· τοιοῦτο γὰρ καὶ τὸ μῆλον, καὶ τὸ ἄπιον, καὶ τὸ μέσπιλον. καὶ τὸ δύσκολον διὰ δριμύτητα ἴσως, οἷον κεδρίδος τε καὶ τερμίνθου, καὶ τοιούτων. τὸ λιπαρόν, ὥσπερ ὅ, τε τῆς ἐλάτης, καὶ τῆς πίτυος, καὶ τῆς δάφνης. Τῶν δὲ γλυκέων ὅσα εἰπεῖν, ἢ ὧδε μικρόν. ἐπεὶ καὶ τὰ μῆλα τὰ γλυκέα πάντων ἥκιστα δύοσμα, καὶ ὅσῳ ἂν γλυκύτερα, ἧττον. ἅμα δὲ καὶ ταῦτ' ἔχει πως οἰνώδη τὸν χυλόν. αὖπον δ' ὅλως παχύτερος καὶ γεωδέστερος ὁ γλυκὺς χυλός, ἄλλως τε καὶ γε τοῖς πόδικαρπίῳ μεμιγμένος· ἡ δὲ ὀσμὴ λεπτοτέρα καὶ ξηροτέρα καὶ διαπνεομένη μᾶλλόν ἐστιν, ὥσπερ ὧν ὕδορον διασαφητέον. ἀλλ' ὡς ὧδε κεφαλαίῳ, γε τούτοις τοῖς γένεσιν ἡ δύοσμία τοῖς δὲ φύλλοις καὶ τοῖς κλωσὶν ἔνιοις, καὶ ὅλως τοῦ διένδροις γε ὑλικωτέροις, γε οἷς καὶ δριμύτης ἐστὶν ὑπάρχει, καὶ λιπαρότης, ὧν ἕνεκα οὐδὲν ἧττον ἀμέλει οἱ πεφρυγμένοι καρποί, καὶ ὑδατότητος καὶ οἰνώδους καὶ γλίσχρου. ὁ γὰρ τῆς μυρίνης καρπὸς δύωδες. δύοσμος δὲ καὶ αὐτὴ, καὶ εἴ τις ἄλλη τοιαύτην ἔχει δριμύτητα, εἴτε λιπαρὸς χυλός, εἴτ' οἰνώδης, εἴτε καὶ ἄλλος χυλὸς καὶ ὧδε καρπός. ὁμοίως δὲ καὶ ὧδε σταφυλωτόν, οἷον ἐρπύλλου, συμβρίου, καὶ ὑδατότητος· οἷον πηγαίου, σελίνου, μίνθης. τό, τε ξηρὸν καὶ δριμὺ, καὶ συμπικνότατος ἐνδηλον· ὅτι ὑδατότητος καρποῖς, διὰ γε τοῖς ἄλλοις ἐχόντων τὴν ὑγρότητα διαυτῶν. γε ἅπασι δ' γε ὑπάρχει καὶ τούτοις καὶ τοῖς ἄλλοις, τοῦ τὸ διορισμὸν τοῖς δυώδεσιν, ὥστε τὸ ἐγχυλον ξηρῷ ἀπομιγνύμενον ἐμφαίνειν τινὰ δυάμιν. δύοσμότατα δὲ καὶ ἥδιστα καὶ ὅλα κατὰ μέρος γε τοῖς δύπνοις καὶ ξηροῖς τόποις, ἀφηρημένου τοῦ ὑδατώδους καὶ τοῦ καταλοίπου πεπεμμένου

ωεπεμμένα μᾶλλον. ὡς γὰρ ἁπλῶς εἰπεῖν, ἡ ξηρότης οἰκειοτέρα ταῖς ὀσμαῖς, καὶ μᾶλλον γὰρ τοῦθ' ἁρμόττει πάντα. σημεῖον δὲ, καὶ τὸ γὰρ ταῖς θερμοτέραις χώραις πλέω γίνεσθαι, καὶ μᾶλλον τὰ ὀδώσματα. ωεπεμμένα γὰρ, πλεονάζει μᾶλλον καὶ ἔνια ξηραινόμενα ὄζει. χλωρὰ δ' οὐκ ὄζει, καθάπερ ὁ καλαμος, καὶ ὁ σχῖνος· τὰ γὰρ καὶ ἁπλῶς ἰσχυρὰ ξηρανθέντα, καθάπερ ἴσως, καὶ ὁ μελίλωτος. ὅτω δὲ καὶ οἰνοραύθης ὀδωσμότερος. ὁ μὲν πάνυ ὅτως, ἀλλ' ὑγιὰς καὶ αὖ πάλιν· ἃ δ' εἶ πλανᾶται. ἁπλῆ δὲ ἡ διαίρεσις. τὰ μὲν γὰρ ἀδρῶς αἰσθάνεται· ποιαῦτα δὲ ὡς ἐπίπαν τὰ ἄνθη μάλιστα, τὰ μὲν ὀδωσμότερα χλωρὰ καὶ προσφατα, χρονιζόμενα δὲ ἀμβλύνεται πρὸς τὴν ἀφὴν πνοὴν. ὧν δ' ἰσχυρότερα· τοιαῦτα δ' ὅσα γεωδέστερα, καὶ ὃ γεωδέστεροις, καὶ ὃ μεθικταί ἐς ὑδατώδης δύναμις, ταῦτ' ἀξηραινόμενα καὶ παλαιούμενα μέχρι τινός· ὧν καὶ τὰ μῆλα τὰ λυδία, καὶ ὅσα τ στεφανωματικῶν ὀσμὰς ἔχει τὰς ὀσμάς· οἷον τὸ ἀβρότονον μάλιστα, καὶ τὸ ἀμάρακον, καὶ ὁ κρόκος. ἅμα γὰρ ἀφῆπνεῖ ταῦτα τῷ ὑδατώδει, καὶ ἡ τροφῆς ὠχρότης πανύστη, τροφῆς καὶ ὥσπερ τὸ ψιμύθιον γίνεσθαι ἔνιά γε λαμβάνει. διὸ καὶ ἀφαιρεθέντα ἀπὸ τοῦ φυτοῦ, δύσοδμότερα· καθάπερ τὰ μῆλα, καὶ ἄλλα ἄπαντα. συμβαίνει δὲ καὶ ὅπως ἔνια, χλωρὰ μὴ ὄντα μηδ' ὄζει, διὰ τὴν ὑγρότητα· ξηρανθέντα δὲ, καθάπερ ἄλλα τε καὶ τὸ βάκερας. ἐπεὶ καὶ ὁ οἶνος τότε μάλιστα πέπεισται, καὶ ὀσμὴν λαμβάνει, ὅταν ἀποκριθῇ τὸ ὑδατῶδες αὐτοῦ. τὰ μὲν δὴ διαυτὰ πάντα, παλαιούμενα δύσοδμότερα. Τὰ δ' ἀδρῶς, ταχὺ διαπνεῖται, καθάπερ τὰ ἴα, καὶ τὰ γε 23
λευκὰ, πικρὰ καὶ διακώδη παλαιούμενα· καὶ ἔχ ὥσπερ τὰ ῥόδα, διατηρεῖ τὴν ὀδωσμίαν ἀξηραινόμενα, μέχρις ὃ ἂν ἐκλείπῃ· πλὴν τὰ μὲν χλωρὰ καὶ πόρρωθεν ὄζει. † ταῦτ' ὀδμὴ ἐστὶν αὖ λιον, ταῦτα δὲ ὅτι καὶ κατέσκληκε πως, ἐκλελειπότος τοῦ οἰκείου θερμοῦ, καὶ ὁ διίσωσιν ἀποπνοήν. ἐπεὶ πρός τε τὰς χρείας οἱ μυρεψοὶ καὶ ταῦτα ἀποξηραίνουσι μέχρι τινός, ὅπως ἄκρατον καταλίπωσι τὴν ὀσμήν. ὁ δὲ μελίλωτος καὶ εἰς πλέω χρόνον ὀδωσμὸς διαμένει. τὸ μὲν ἀλλ' ἔνιά γε τοῦ ὀδωδότος ἄγαν καταξηραινόμενα, χείρους ἴσχει τὰς ὀσμὰς, τῷ δριμυτέρας εἶναι καὶ σκληροτέρας. ἔστι γὰρ ἡ ὀσμὴ ὥσπερ καὶ οἶνος, καὶ ἁπλῶς χυλὸς σκληρότης καὶ ἰσχὺς, ὅτω καὶ ὀσμῆς, ᾧ καὶ τῷ ἀγρίῳ ἔνια ὅμοια δοκεῖ πως τὰ ἥμερα ωεπονθέναι, καθάπερ ἐρπυλος, καὶ τὸ σισύμβριον, καὶ τῶν λαχανωδῶν μάλιστα τὸ πήγανον. σκληραὶ γὰρ αἱ ὀσμαὶ, καὶ ἀγλυκεῖς. αἱ δὲ τοῦ ἡμέρου, ἔχουσί τινα ἅμα τῷ ὑφ' ἡδονὴν γλυκύτητα καὶ δύναμιν. ἔστι γὰρ ὥσπερ καὶ χυλοῖς καὶ ὀσμαῖς γλυκύτης. σχεδὸν δὲ καὶ ἄλλαι προσηγορίαι τοῦ εἰδῶν, ὡς ὁ πόρρω τοῦ φύσεως ἑκατέρας ὄσης. ἀλλὰ γὰρ ποῖαι μὲν τινες ὀσμαὶ χρόνιαι, καὶ ποῖαι ξηραινομένων δύσοδμόταται, καὶ τἄλλα τὰ τοιαῦτα ὁμοίως διὰ τοῦ εἰρημένων θεωρεῖσθω· καὶ ὅσα μὴ εἴρηται, ῥᾴδιον ἐκ τούτων συνιδεῖν. ὅσα δὲ μὴ καθ' ὅλον μέρος 30
ὀδωσμα, ἀλλ' ὅλα τυγχάνει, πόθεν τούτων ἀπορήσειεν ἄν τις, ὃ καὶ πρότερον ἐλέχθη, διὰ τί τὸ ἄνθος οὐκ ὀδωσμον αὐτοῦ, ἢ ὁ καθ' λόγον. γίνεται γὰρ καὶ ἐν τοῖς ἄλλοις μὴ ὀσμὴν δύσοσμοις, τύφις μάλιστα διὰ τὸ πρωϊπάρχειν τῆς φύσιν. αἴτιον δὲ φαίνεται, διότι πέψις τις ἡ ἄνθησις· τὸ δὲ πεπτόμενον, γίνεται μεταβολῆς τὰ παρόντος· ὅσα μὲν οὖν αὐτὰ μὴ ὀσμώδη, τούτων πεπτομένων τὸ χυλός. ὅσα δὲ δύσοσμα τούτων διὰ τὴν μεταβολὴν, λαμβάνει ἐνίοτε τὸ ἄνθος δυσοσμίαν. ἐπεὶπερ ἡ πέψις γίνεται μεταβολῆ, ἀναγκαῖον ἐξαλλαγῆναι τὴν ὀσμήν. ὀσμῶν δὲ ὄντων, ἡδὺ δύσοσμον ἔσεσθαι τὸ ἄνθος. αὐτὴ γὰρ ἐξαλλαγὴ ἔοικεν ὥσπερ ἐξαίνησις εἶναι τοῦ πρωϊπαρχούσης ὀσμῆς καὶ δυνάμεως. διὸ καὶ αὐτά φασιν ὄζειν τότε. ὅρα δὴ εἰ γίνεται, σκεπτέον. φέρει γὰρ ἔνια πίσιν. φαίνεται δὴ παρόμοιον συμβαίνειν, ὥσπερ ὑπὸ τοῦ χυλῶν τοῦ ποιστικοῦ, καὶ τοῦ γε τέλει, καὶ πεπεμμένων πως οὐκ ἀπεπέπτων, ὅταν πυρῶνται καὶ ἡλιῶνται. μεταβολῆς γὰρ γινομένης, οἱ μὲν εἰς τὸ βέλτιον, οἱ δὲ 40
εἰς τὸ χεῖρον μεταβάλλουσι. οὐκ δὴ γὰρ πέπεψε, τοῦ δ' οἷον ἐξέπεσε τὸ θερμόν. ἀνάγκη γὰρ ὅταν γε τῷ τέλει γίνηται, τὴν μεταβολὴν εἶναι πως τὸ χεῖρον. ὃ δὴ καὶ γε ταῦθα φαίνεται συμβαῖνον, μαλακωτέρας τῆς ὀσμῆς γινομένης. οἷον γὰρ ἄνεσίς τις γίνεται τῆς ἀκράτου. ἅμα δὲ καὶ διὰ γραίνεσθαι συμβαίνει, ξηρὸν δὴ φύσει καὶ τὴν ἄνθησιν. ὧν γένεσις ἐκ ἀνύστου τούτων, διὰ ταύτην γίνοιτό τις ἄνεσις. εἰ δὲ μὴ ὑγρότης, ἀλλ' οἷον γλυκύτης ἔγκειται πως τὴν τοῦ καρποῦ γένεσιν (ἅπαντα γὰρ ἐκ γλυκέος γεννᾶται· διὸ καὶ τὰ πολλὰ τῶν ἀνθῶν ὄζει γλυκέα) καὶ ὅτι καὶ λόγου, ἐκλελυμένου τε καὶ θηλυτέραν εἶναι τὴν ὀσμὴν, οἷον ὥσπερ γλυκαίνουσαν, ἀφηρημένης τοῦ ἀκράτου δριμύτητος. τούτων δὴ διαύτην τινὰ αἰτίαν ἐνδέχεται. Διὰ τί δ' οἱ ἄγριοι καρποὶ τοῦ 24
ἡμέρου δύσοσμότεροι τοῦ ὁμογενῶν, οἷς μηλέαι τε, καὶ ἀχράδες, καὶ ὄαι, καὶ μέσπιλα, καὶ τἄλλα. καὶ αὖ τοῦ ἢ τοῦ μηλέας, ἔμπλεως τοῖς ἀγρίοις τὰ στρυφνώματα, καὶ τοῖς ἡμέροις εὐοσμότατα. καὶ οἱ ἀπέπτως γινομένης

νομένης τῆς ὀσμῆς, πῶς ἂν εἴη δύσοσμα τὰ μάλιστα πεπεμμένα. πρὸς μὲν τοίνυν τοῦτο, ἴσως μὲν ἁπλῶς εἰπεῖν, ὅτι τὰ ἄγρια ὡς σκληρότερα· καθάπερ γὰρ τοῖς ἄλλοις. ἔτι δὲ καὶ οἰκειότερος, εἰ καὶ διὰ παντὸς διελθεῖν τὰς αἰτίας, τίνι τῆς τε ὀσμῆς, καὶ τίνι ἑκατέρα γίνεται. φαίνεται γάρ ἐνια ἔχειν διαφοράν, εἴθ' ἑτέρων ὄντων, εἴτε τοῦ αὐτοῦ μεταβάλλοντος. ὅτι μὲν οὖν ἐκ θέλει διαίρεσιν ἔχειν. πῶς δὲ τὸ νῦν, ἱκανὸν ἴσως ἕτερον, ὅπερ καὶ φανερόν· ὅτι ἡ μὲν γλυκύτης, καὶ ὅλως ἡ δύσμιξ, πάσχει γίνεται τῶν χυλῶν. διὸ καὶ γηράσκοντες οἱ καρποὶ, καὶ ἁλισθέντες, πάντες γλυκύτεροι. παχυνομένου γάρ, ἀφαιρουμένου τοῦ ὑδατώδους. ἡ δὲ ὀσμὴ, τῶν πεπεμμένων ἐνίοις καὶ ἀτελεστέρᾳ πέψει. σημεῖον δὲ, καὶ ὅτι αὐτὰ τὰ δυώδη, καθάπερ ἄνθη καὶ μήλεα καὶ τὰ ἄλλα, μᾶλλον δύσοσμα γίνεται, μὴ τελέως ἐκπεπανθέντα. καί ποτε τοῦ χυλοῦ μάλιστα ἡ πέψις, καὶ ἔοικεν ἐν ταῖς πεπάνσεσι μεταβολαῖς τῶν χυλῶν. πλείστη γὰ δύσοσμία γίνονται, ὅπος καθάπερ ἅμα τῶν δυμαλικὴν ἴσχει, καὶ † ὅπως τὸ χυλὸν τὸν οἰκείαν ἔχοντες φύσιν, ὅταν εἰς ταύτην ἐπέλθῃ, παχυνθεὶς καὶ πεφθεὶς, τὰ μὲν τῆς τροφῆς ἐλαττοῦται, τὸν δὲ γλυκύτητα τῆς οἰκείαν καὶ ὅλως τὸν τῆς αἰσθήσεως πρόσφορον λαμβάνει. τὰ μὲν οὖν ἄγρια, μέχρι τοῦ πεπάνσεως πεῖ ὄντα, καὶ τῆς δυωδίαν ἔχει καὶ λόγον. τὰ δὲ ἥμερα, τελέσθεντα τῇ πέψει καὶ ἀτροφήσαντα, διὰ τὸν κατεργασίαν μεταβαλλει τοὺς χυλοὺς εἰς γλυκύτητα καὶ δύσοσμίαν. ἅμα δὲ καὶ τῆς ὑγρότητα καὶ τῆς ξηρότητα, καὶ τῆς πολυτροφίαν καὶ ὀλιγοτροφίαν, καὶ τῆς δύπνοιαν, εἰκὸς ἂν συμβάλλεσθαι πρὸς τὰς ὀσμάς. εἴπερ ὅλως καὶ τὰ ξηρὰ, καὶ ἐν ξηροῖς ἐν ὀλιγοτροφίᾳ καὶ ἐν δύπνοις δυσοσμότερα. μιγνυμένη γὰρ ἡ πλέων ὑγρότης, ἀμβλύνει τὸν ὀσμήν. διὸ καὶ ἐν τοῖς παλισκίοις καὶ ἐφύδροις, ὀκ δύοσμα. καὶ μάλιστα δὲ τῇ παχύνσει, καθάπερ εἴρηται, λαμβάνει τὸν μεταβολήν. ὡς δ' ἁπλῶς εἰπεῖν, καὶ ξηρότερα καὶ ἄγρια καὶ ὀλιγοτροφώτερα καὶ δύπνοα μᾶλλον καὶ ἐν ἁλιώσει, καὶ ἔτι λεπτοχυλώτερα, καὶ ὀχ ὁμοίως τὸν χυλὸν ἔχοντα αὐαμεμιγμένον τῇ σαρκὶ τοῖς ἥμεροις. ἅπαντα δὴ ταῦτα συμβάλλεται πρὸς δύσοσμίαν. ἰδεῖν δὲ ἔστιν ἴσως καὶ ἐπὶ τοῦ οἴνου. οἱ μὲν γὰρ γλυκεῖς, ὅλως δύσοσμοι, καὶ οἱ μελανοί. τῶν δὲ ἄλλων οἱ λεπτοὶ μᾶλλον δυώδεις, καὶ θᾶττον τῶν πόνων πεῖσαι γίνονται, καὶ παχέων. ἔτι δὲ ἅμα τῇ δύσοσμίᾳ συμβαίνει, καθάπερ χωρισμόν τινα γίνεσθαι τοῦ ὑγροῦ καὶ τοῦ γεώδους, ὑφισαμένης τοῦ ζυγοῦ, καὶ πρὸς τοῦτο ἀκριβολογοῦνται τοῦ ὑλαιώδους· ὥστε διὰ πάντων ἐστὶν τῆς δυωδίαν, λεπτότητός τε καὶ χωρισμὸν καὶ διαπνοῆς. ἐπεὶ καὶ αὐτοῦ τοῦ μέλιτος τὸ πρὸς τὸ ζυγὸν, ἧττον δύσοσμον. ἡ αὐτὴ δ' αἰτία, καὶ τοῦ θᾶττον πέττεσθαι τοῦ ἠθικὸς πρὸς οἶνον. λεπτότεροι γάρ, καὶ ὥσπερ σύθους ἄμικτοι, σωτηριμαρτυρεῖ δὲ, καὶ ἐκ τῶν λεπτοτέρων καὶ ξυλώλων καὶ ξυπνόων δυωδεστέρους γίνεσθαι, καὶ ἐκ τῶν πρεσβυτέρων ἢ νεωτέρων. ἔτι δ' ὡς πολύοσμοι καὶ ἰχυροὶ ταῖς ὀσμαῖς, ὀκ ἔχουσιν δὲ τῇ γεύσει τὸ μαλακὸν, ὡς ὀκ ὄσης ἅμα δῆ τε καὶ τοῦ χυλοῦ δυοσμίας καὶ πολυοσμίας καὶ ἰσχύος. ὅπερ ὡσὶ τοῦ μύρου, καὶ ὕδατι τῶν θυμιαμάτων, καὶ ὡσὶ τῶν στεφανωμάτων, καὶ ὡσὶ τοῦ ἄλλων τῶν δυοσμωδῶν συμβαίνει. πάντα γὰρ πικρὰ, καὶ λύχνια τὰ ζειαῦτα, καθάπερ αἱ ἀμυγδαλαι. καὶ οἱ ὀρεινοὶ δὲ τῶν οἴνων, ὀσμὴν μὲν ἔχουσιν ἔνιοι, σκληροὶ δὲ καὶ ὀκ δύχυλοι. διὸ ἀπαντῶν ὂν λῆμμα, ὡς ἕτερον τὸ τῆς δυοσμίαν ποιοῦν, ἢν συμμιξίαν ἔνια λαβῇ τοῦ κράσεως. ἥδιστον δὲ τὸ ἐξ ἀμφοῖν. ἄλλως τε καὶ ὧν ἐν αὐταῖς ἀρίστη ἔνιοι ἐφαμιλλυπεῖν τὸ δριμὺ καὶ ἄκρατον, ὥσπερ ἐρπύλλος καὶ ἀβροτόνη καὶ σικυώνιον. μιχθέισης δὲ ὑγρότητος συμφύτου, μᾶλλον δύκράτους γίνεσθαι καὶ ἥδιστος· μίγνυται γὰρ καὶ δύχυλοτέρων γινομένων. ἐὰν δὲ ὑπεραίρῃ θαττον, ὥστε καὶ μὴ τὸ ἐλλεῖπον. ἅμα γάρ πως ἡ ἀπόλαυσις ἐν τοῖς τοιούτοις τῶν χυλῶν ὀσμῶν καὶ χυλῶν. χρὴ δὲ πειρᾶσθαι καθόλου διαιρεῖν, ὥσπερ εἴπομεν· ἐν τῷ χυλῷ μὲν ἡ δύσομία καὶ ἡ γλυκύτης, ἀπὸ τοῦ χυλοῦ δὲ ἡ ὀσμὴ, ποῖος ἑκάτερ καὶ πῶς ἔχων. ἐκεῖνο δ' ὃν φανερὸν ἐκ τῶν εἰρημένων, ὅπερ ἐξ ἀρχῆς ἐπορήθη, διὰ τί οἱ ἄγριοι τῶν καρπῶν δύσοσμότεροι. φαίνεται δὲ καὶ κἀκεῖνο συμβαίνειν, ὥσπερ ἐν τοῖς ἀτελέσι καὶ τοῖς στερητικοῖς χυλοῖς μᾶλλον ἐστὶν τῆς δυοσμίαν, εἴ γε τὰ μὲν πικρά, τὰ δὲ δριμέα, τὰ δ' ἁδρὰ, τὰ δὲ τρυφερὰ, τὰ δ' ἄλλα ἔχοντα δυσχέρειαν. ὀκ ἀλόγως δ' ἴσως. ἡ τονὴ γάρ ἐστι μᾶλλον ἀεὶ τοῦτων. ὥστ' ἐὰν μὲν εὔκρατα λάβῃ, σύμμιξον ἐστὶν πῶς τῆς ὄσφρησιν· ἐὰν δὲ ὑπερβάλλοντα, δυσχερῆ καὶ βαρεῖαν ἦθη. καὶ ὀκ αὖ δόξειεν ἂν τερπνὸν ἐστὶν γένος· ἀλλ' ἑτέραν ἔνια φύσιν ἔχειν, εἴγε ἔνια ποιητικὰ τοῦ ἄκρου. ἡ μὲν οὖν ὀσμία, δῆλον τοῦτο ἐν τοῖς γλυκέσι καὶ δυχύλοις μᾶλλον. ὡς δ' εἰπεῖν, τῶν ὀσμῶν ἡ μὲν ἰσχὺς ἑκάστων, δῆλον ὅτι καὶ τῶν ὑποκειμένων φύσιν. Οὐ μὴν ἀλλ' ἐνιά γε τοῦ αὐθέως ἐξ ὑποστάσεως, ἢ πλησίον ἐλθόσιν, δύσοσμότερα·

σμότερα· καθαπερ καὶ τὰ ἴα δοκεῖ. τὸ δ' αἴτιον, ὅτι πρὸς μὲν τὰ πόῤῥω, καθαρὰ φέρετ' καὶ ἀμιγὴς ἡ ὀσμή. πλησίον δ' ὄντων, ὅτι συναποῤῥεῖ τι καὶ ἀπὸ τῶν ἄλλων μορίων, ἅπερ οὐ διϊκνεῖτ' πρὸς τὰ πόῤῥω, διὰ τὸ γεωδέστερα καὶ παχύτερα εἶναι. καθόλου γὰρ, ταῖς μὲν ἀσθενέσι τῶν ὀσμῶν ἡ ἀμιξία, τῶν δ' ἰσχυροτέρων ἐνίαις αἱ μίξεις αἱ οἰκεῖαι χρησιμώτεροι, καθάπερ τοῖς χυλοῖς· οἷον καὶ τῇ μυρήνῃ δοκεῖ τῷ ἀμίκτῳ θυμιᾶσθαι, καταβραχεῖσα μελικρατῷ ἢ γλυκεῖ. μαλακωτέρα γὰρ ὀσμὴ κεραννυμένη, καὶ γλυκυτέρα γίνετ'. ταὐτὸ δὲ τοῦτο συμβαίνει καὶ ὑπὸ τῶν χυλῶν. ἔνιοι γὰρ δέοντ' μίξεως πρὸς εὐσομίαν. ὡς δ' ἁπλῶς εἰπεῖν, ἕως ἂν τὰ ὀσμαὶ πλεῖσαι καὶ ἀκρατέστεραι· προϊούσης δὲ τῆς μεσημβρίας, ἧττον· παρελθούσης δὲ τῆς μεσημβρίας, ἥκιστα, διὰ τὸ ἀναξηραίνειν τὸν ἥλιον. ὡς δ' ἐν ταῖς τῆς ἡμέρας ὥραις, ὁμοίως καὶ ἐν ταῖς τοῦ ἐνιαυτοῦ κατὰ λόγον· πλὴν εἴ τινων ὀσμαὶ καὶ πεπάνσεις τοῦ ἀέρος σύμμετροι πρὸς τὰς ὀσμὰς, ὥσπερ τὰ καθ' ἡμέραν ἐστὶν ὑπὸ τῆς ἑσπερίδος καλουμένης. αὕτη γὰρ τῆς νυκτὸς ὄζει μᾶλλον. κατὰ δὲ τὰς ἡλικίας, οὐκ ἐν ταῖς ἄκραις, ἀλλ' ἐν ταῖς ἀκμαῖς εὐοσμότατα, μικρόν γε παρακλίνοντα τὴν ἀκμήν. οὐ γὰρ ἴσως ἡ αὐτοῦ χυλοῦ καὶ ὀσμῆς πέψις. τὸ μὲν γὰρ νέον, ἅτε ἡλίῳ τροφὴν ὑπαπώμενον, οὐ πέττει. τὸ δὲ γεγηρακὸς, ἐξασθενεῖ δι' ἐνδειαν θερμότητος. οὐ μὴν ἀλλὰ ταῦτά γε εὐοσμότερα τῶν νέων· ἐλάττων γὰρ ὑγρότης. ὥστ' ὑπακρατεῖ μᾶλλον, ὥσπερ καὶ τὰ ἐν ταῖς χώραις ταῖς λεπτογείοις. ὡς δὲ ἁπλῶς εἰπεῖν, τὰ ἐν ἀκμῇ, καὶ πρὸς εὐχυλίαν ἄριστα, καὶ πρὸς εὐοσμίαν, ὧν ἑκατέροις ἐνταῦθα τὸ τέλος. ἐν δὲ τοῖς ψύχεσι καὶ πάγοις, ἀμβλύτεροι τὰ οἱ χυλοὶ, καὶ αἱ ὀσμαὶ, διὰ τὴν πῆξιν· πεπηγότα γὰρ οὐ διαδίδωσιν. ἅμα δὲ τὰ ἀφανίζεταί πως ὑπὸ τοῦ ψύχους κρατοῦντος μᾶλλον κἀκεῖνα τὰ ἡ αἴσθησις. ἀμφότερα γὰρ ἐξίστησιν· ἐκεῖνα δὲ μᾶλλον. ἐπεὶ καὶ τῶν καρπῶν ἐξαιρεῖτ' τὴν γλυκύτητα, διατμίζον τῇ πήξει, τὰ ἐξαῖρον. ὡσαύτως δὲ καὶ ἡ τῶν καυμάτων ὑπερβολὴ τοῦ χυλοὺς λυμαίνεται· τὰ μὲν γὰρ κατακάει, τὰ δὲ οὐ πέττει, τὰ δ' ὥσπερ σήπει καὶ διϋγραίνει· καθαπερ καὶ ὑπὸ τῶν συκῶν ἐλέχθη. τὰς δ' ὀσμὰς ἴσως ἐνίων μᾶλλον διατηρεῖ. τάχα δὲ καὶ ποιεῖ τάς γε ἐν τοῖς ξηροῖς γινομένας· ἄκρατοι γὰρ αὗτ'. πολλὰς δὲ καὶ φθείρει· τὰς δ' ἐν τοῖς καρποῖς ἐγχυλοτέρας τὰ μεμιγμένας τινὰς εἶναι. μὴ πεπαινομένων δὲ καλῶς, οὐ γίνετ'. τὸ δ' ὅλον, ἐν συμμετρίᾳ τινὶ τῆς μίξιν ὑπάρχειν, καὶ ἐμφαίνεσθαί πως τὴν τοῦ ξηροῦ φύσιν ἐν ταῖς ὀσμαῖς· τοῦτο γὰρ τὸ τὰς ὀσμὰς ποιοῦν, ἢ πάντων, ἢ τινῶν. ὅπερ φανερὸν εὐθὺς καὶ ὑπὸ τῆς γῆς ἐστιν, ἐν τοῖς τοιούτοις ὑετοῖς. διακεκαυμένης γὰρ ἐν τῷ θέρει, τὸ θερμόν πως τὸ ὕδωρ ποιεῖ τὴν εὐωδίαν. ταῦτα δὲ ποιεῖ καὶ ἐν ἄλλοις. καὶ γὰρ τὸ περὶ τὴν ἴριν λεγόμενον, ὡς ὅπου ἂν κατέχῃ, ποιεῖ τὰ δένδρα καὶ τὸν τόπον εὐώδη, τοιοῦτόν ἐστι. ποιεῖ γὰρ οὐ πάντως, ἀλλ' ἐὰν ὕλη τις ᾖ νεόκαυτος. οὐ δ' ἴσως καθ' αὑτὴν, ἀλλὰ τρόπον τινὰ κατὰ συμβεβηκός. ἐφύη γὰρ, ὅπου ἂν ἐφιστῇ. πεπυρωμένης γὰρ τῆς ὕλης, ἡ κατάμιξις ποιεῖ τινα ἀτμίδα καὶ εὐωδίαν. οὐδὲ γὰρ οὐδὲ γίνετ' πλῆθος ὕδατος, ἀλλ' ὡς ὑπὸ τὸ πολὺ ψεκὰς, ὥστε συμμετρίαν εἶναι πρὸς τὴν θερμότητα καὶ ξηρότητα. δεῖ δὲ καὶ αὐτὴν τῆς ὕλην ποιάν τινα προϋπάρχειν. οὐ γὰρ ἐν πᾶσι, καὶ πάντως. ὅλως δὲ καὶ ἐν ἄλλοις ἥτε πύρωσις, καὶ ἡ κατάμιξις τῶν πεπυρωμένων ποιεῖ τινας εὐωδίας, καὶ τὸ ὅλον ὀσμὰς, ἐὰν ἔχῃ τὸ σύμμετρον. ἐπεὶ καὶ τὰ θυμιάματα ταῦτα, πυρώδεις ταύτας εὐωδίας. μαλακῇ δὲ, καὶ οὐ κατακαιούσῃ. τὸ γὰρ σύμμετρον οὕτω πρὸς ὁρμὴν, ἐκείνως δὲ φθορά.

Πάρεγγυς δὲ καὶ τὸ ταὐτό πως τούτῳ, καὶ ὑπὸ μὲν τῶν δένδρων, τὰ ὅλως τῶν ὑλημάτων, εὔοσμα πολλά· ζῶον δ' οὐδὲν, εἰ μὴ τὴν πάρδαλίν φασι, καθάπερ ἐλέχθη, τοῖς θηρίοις. τὰ μὲν γὰρ θερμὰ καὶ ξηρὰ τὴν φύσιν, ὥς γ' ὑπόπτερα, καὶ καθαροτέρα τις ἡ αὐτῶν ἀναπνοή. τὰ δ' ἐν ὑγρότητι πλεῖον, καὶ μηλωδέστερα· διὸ καὶ ἡ ἀπνοὴ τοιαύτη. καὶ ὅλως ἡ τροφὴ τῶν μὲν ἁπλῆ τὰ ἀπερίττωτος, τῶν δὲ ποικίλη καὶ περιττωματική. συμβάλλετ' δέ τι καὶ τοῦτο πρὸς εὐοσμίαν, ὅταν ἡ φύσις ἅμα προϋπάρχῃ ποιάν τις. ἀρχὴ γὰρ αὕτη καὶ πρῶτον. ἐπεὶ οὐδὲ τὰ δένδρα πάντα εὐώδη, διὰ τὸ μὴ τὰς ὁμοίας ἔχειν κράσεις. τάχα δὲ καὶ ἡμῖν οὐκ ἔνδηλον ἐκ τῶν ζώων τὸ εὔοσμον, διὰ τὸ χειρίστην εἶναι τὴν ὄσφρησιν. ἐπεὶ τά γ' ἄλλα καὶ πόῤῥωθεν αἰσθάνετ', καὶ τὰ σύνεγγυς ἀκριβέστερον. ἢ καὶ τὰ μὲν ἴσως αὐτοῖς εὐώδη, τὰ δὲ καὶ ἀηδῆ πάντα φαίνετ'· καθάπερ καὶ ἡμῖν ἑτέρων ἕτερα μᾶλλον. ἔνια δὲ καὶ ὅλως φεύγομεν. ἀλλ' ἐκεῖνο ἄτοπον, ὃ καὶ πρότερον εἴπομεν, εἰ τὸ ἡμῖν κακῶδες τὰ ἄοσμον, ἐκείνοις εὔοσμον γίνεται. τάχα δ' οὐκ ἄτοπον. ὁρῶμεν δ' οὖν τοῦτο καὶ ἐφ' ἑτέροις συμβαῖνον, ἐν ἑαυταῖς εὐθὺς ταῖς τροφαῖς· τῷ μάλιστ' ἄν τις αἰτιάσαιτο τὰς κράσεις ἀνωμαλεῖς γε οὔσας. ἐπεὶ τά γε σχήματα Δημοκρίτου, καθαπερ ἐλέχθη,

26

τεταγμένας ἔχοντα τὰς μορφάς, τεταγμένα καὶ τὰ πάθη· καί τοι γε ὀκ ἐχρῆν ποιεῖν, ἀλλὰ ταῦτα μὴ ὅτω λεκτέον. ὃ ἤδη καὶ μικρῷ πρόσθεν ἐλέχθη, καὶ νῦν πάλιν εἴπωμεν· ὅλως καὶ ἡ δύσοσμία καὶ ἡ δύχυλία ζητεῖ ὕλην καὶ χώρας καὶ ἀέρος ποιότητα, καὶ τροφῆς. δεῖ γὰρ μήτε ὑπερβάλλειν, μήτ' ἐλλείπειν, μήτε ἀλλοίαν εἶναι τοῖς ὑπομένουσι τὴν τροφήν. ὡς ὁ μὴ πλῆθος λωλυέ τὴν πέψιν. τὸ δ' ὑγρὸν οἷον ὕλην ὀκ ἔχει· τὸ δὲ μὴ οἰκεῖον, ὁ ποιεῖ τὸ τῆς φύσεως. ὥστε δὲ μάλιστα ὑπὸ τῶν ποιούντων ἐλαφρὸν εἶναι, καὶ τὸν ἀέρα, καὶ τὴν θερμότητα τὴν ἡλίου· ταῦτα γὰρ ὅτι τὰς τροφὰς ὑπὸ τὰς πέψεις οἵας δεῖ ποιοῦντα· πρὸς ἑτέρους δὲ καρπὸς καὶ χυλὸς ἑτέρα καὶ διαφορος. ὅτι δὲ ἀληθὲς ὃ λεγόμεν, ἐκ πολλῶν φανερόν. ἄλλα γὰρ ἐν ἄλλῃ χώρᾳ καὶ δύοσμα, καὶ δύχυλα, καὶ λάπιμα ὑπὸ ἄκαρπα, καὶ βλασταὶ καὶ ἄβλαστα· καὶ γὰρ ἐν ταῦτ' ὑπὸ τὴν αὐτὴν πολιτείαν, πολὺ ὧν δεῖν ἑτέρους ἂν εὑρήσαιμεν πρὸς τὴν ἐκ τοῦ ἀέρος κρᾶσιν, καὶ τὴν ἐκ τοῦ ἐλάφρος τροφήν. καὶ γὰρ τὰ κωλύοντα καὶ αὔξοντα, ταῦτα· ὑπὸ τὴν πέψιν ποιοῦντα, καὶ δύχυλίαν. ἐπεὶ δὲ καὶ ὀσμαὶ καὶ οἱ χυλοὶ πολυειδεῖς, εἷς ὅμως ὁ μία κρᾶσις, ὁδὲ μία τροφὴ πᾶσι
27 πρόσφορος, ἀλλ' ἑκάστοις ἡ πρὸς τὴν ἰδίαν φύσιν. Ὅθεν καὶ ταύτης ἡ ἀκρίας λύσις, εἷς τί ποτε μᾶλλον ὄντων δύοσμων τῶν θερμῶν τόπων, οὐχ ἅπαντα ἐν ἅπασι τοῖς θερμοῖς τὰ δύοσμα. ἔτι μᾶλλον, εἷς τί ποτε τὰ μὲν πρὸς τοῖς ἄλλοις ἄοσμα, πρὸς τούτοις δύοσμα, λαθὼν πῶς λαλαμος, καὶ χοῖνος ἐν συρίᾳ. τὰ δὲ πρὸς τοῖς ἄλλοις δύοσμα, πρὸς ἐκείνοις ὀδέν μᾶλλον, ὡς δὲ λιές φασι καὶ ἥπτον. καί τι καὶ λόγου καὶ ταῦτα μᾶλλον· ὑπὸ γὰρ τὴν λεχθεῖσαν αἰτίαν ἅπαντα ταῦτ' ὀδίν. ἡ γὰρ ἀνωμαλία τοῦ ἀέρος καὶ ἡ τροφῆς, ἑτέρων ὄντων τῶν ἐν ἡμῖν, ἄλλη πρὸς ἄλλας ἁρμόττει. εἷς ὥστε γὰρ καὶ αὐτὸ τὸ συρίας βραχὺς ἐς τόπος τοῦ λαλαμου καὶ τὸ χοίνου· καὶ πάλιν τὸ ἀκρβαλλαμον, καὶ τῶν ἄλλων τὰς δυσοσμίας ποιοῦντων, πρὸς μὲν τὴν οἰκείαν. πρὸς δὲ τὰ πρὸς τοῖς ἄλλοις δυώδη, πρὸς πλησίαν ἢ χείρω κρᾶσιν ἔχει· καθαπερ συμβαίνει καὶ ὠδὶ τῶν λαρπῶν. ὁ γὰρ ἴσως πάντα δεῖ τὴν θερμότητος ὁδεμίας, ἀλλὰ τὰ μὲν πλείονος, τὰ δὲ ἐλάττονος καὶ μαλακωτόρας· ὥσπερ καὶ ὧδὶ τῶν ἐνομένων, καὶ ὅλως τῶν τὴν τὰς τέχνας γινομένων. φιαχοῦ δὲ καὶ τοῖς λαθ' ἕκασα δύσληπτον. φ αἰγύπτῳ γὰρ χείρισα τὰ ἄνθη καὶ τὰ σεφανώματ' ὡς εἰπεῖν, ὅτι ὁ ἀὴρ ὁμιχλώδης καὶ δροσοβόλος. φ δὲ ταῖς διαύταις χώραις ὁ γίνεται τὸ ὅλον δυωδία, εἷς τὸ μὴ γίνεσθαι πέψιν· ἀλλὰ μᾶλλον φ ταῖς λαταξήροις. φ ταύτῃ γὰρ ἐκπέπεσεν. ἐπεὶ τὰ πρὸς λυρήνῃ, εἷς ταῦτα δύοσμα, τὰ δ' ἄλλα καὶ μάλιστα τὸ ῥόδον καὶ ὁ ἰρόκος. ἡ γὰρ χώρα λεπτὴ καὶ ξηρά, καὶ ὀκ ἄγαν θερμή· καθαρῷ τε γὰρ τῷ ἀέρι, καὶ αὐύδρῳ. πρὸς δυωδίαν δὲ αἱ διαῦται τροφαὶ συμμέτριαι. τὸ δὲ ῥόδον, καὶ ὁ ἰρόκος, ὀλιγότροφα· διὸ καὶ τῶν ἄλλων δυοσμότερα. θαυμασιώτερον δ' φ αἰγύπτῳ τὸ πρὸς τὰς μυρίνας, ὅτι τῶν ἄλλων ὄντων ἀόσμων, ὑπερβάλλουσιν αὗται τὴν δυοσμίαν. καὶ γ' ἡ ξηρότης καὶ ἡ θερμότης ὀχ ἥκιστα, ἀλλὰ μᾶλλον φ ἴσην ὑπάρχει τῶν λοιπῶν· ὑπὸ τὰ ἄλλα δὲ χεδὸν τὰ καὶ τὴν αἴθησιν. ἔστι μὲν δὴ καὶ τί γένος ἴσως, ὃ μεταφυτευόμενον εἰς ἑτέρας χώρας, οἷον λύπτον, ῥόδον, λινόδυ, ἐμφανὲς ἡμῖν διαλλαττον· οὐθὲν μέν τοι τῶν αὐτῶν, ἀλλὰ καὶ πλατυφυλλότερα γίνεται. λεπτὴ γὰρ ἐκείνη, καὶ τὴν δυωδίαν ὀκ ἐγγὺς πρὸς ἐκείνην. τὸ μὲν ἀλλὰ τόγε πλεῖσον τῇ χώρᾳ τὸ αὐτὸν, καὶ τὴν ἰδιότητα ποιεῖν πρὸς τὰ ἄλλα τὴν θαυμαζομένην. τὸ γὰρ αὖ πάλιν μήτε καρπὸν εἶναι μήτε λευκὴν, ἀλλὰ μέλαιναν, ὀχ ὑπαναντίον πρὸς τὴν δυωδίαν. ἄμφω γὰρ ξηρότης. αἰτιῶνται δὲ ὡς μικρόμυρον, εἷς τὸ μὴ γίνεσθαι τὸ οὐραῖον ὕδωρ, ὡς ὧν ζητοῦντα τὸν καρπόν. τὰς δὲ δρόσους οὐ βοηθεῖν. ὥστε μὲν δὴ, καὶ εἴ τι διὸν ἑτέρου, ὃ συμβαίνει διὰ μῆς ἰδίας ἐχθρὰ πρὸς τὰ ἄλλα καὶ τόπους γένεσις, ἰδιωτέρων δεῖται λόγων. ὁ γὰρ κοινὸς, ὅτι πολλὰς ἀνωμαλίας αἱ χῶραι φέρουσιν, ἀληθὴς μέν· πρὸς ἅπαντα δὲ καὶ τὰς οἰκείας διαφορὰς. ἔοικεν ὃν ὁμοίως καὶ τὸ γε λυκίᾳ πρὸς τὰς ῥόας συμβαῖνον. ὡς γὰρ ἐκεῖ πρὸς τὴν χυλὸν, γνωτέον θαπρὸς τὴν ὀσμὴν ἡ δύναμις καὶ ἡ ἰδιότης. ἐκεῖ μὲν ὃν αἰτιάσαιτ' ἄν τις τὴν τῶν ποταμῶν γειτνίασίν τε καὶ φύσιν. ἡ γὰρ ῥόα, Φίλυδρον. φασὶ μεταβάλλει δὲ ὀξὺς εἰς γλυκὺ, ἐὰν ἔχῃ πολυϋδρείαν. ὥστ' εἰ διαῤῥέοι ὁ ποταμὸς ἅμα τῷ πλήθει καὶ τῇ ποιότητι ποιεῖ τοιαύτην μεταβολὴν, ὀδὲν ἄπορον. φ ταῦθα δὲ πειρᾶσθαι γε ἔνια δεῖ ζητεῖν ἰδίαν, ἥτις οἰκεία πρὸς τὴν δύοσμίαν. ἔοικε δὲ μάλιστα διαύτη τις εἶναι, συμβαινόντων εἰς ταῦτα πάντων οἷον τότε λοιπὸν καὶ τὸ ἰδίου γένος τὸ μυρίνης καὶ τὸ ἐλάφρος καὶ τὸ ἀέρος. αὐτὸ δὲ τὸ φυτὸν ὅλως ξηρόν, καὶ τὸ γένος ὃν μᾶλλον τῶν ἄλλων· δῆλον δὲ ἡ εὐφυλλία, καὶ ἡ μικροκαρπία, καὶ ἡ χρόα τοῦ καρποῦ· πάντα

πάντα γὰρ ταῦτα ξηρότητος. τὸ δὲ ξηρὸν, ὀλίγον ὑγρὸν ἔχει. τὸ δι' ὀλίγον δύπεπτον. ἡ δύναμις δ' ἐν τῇ πέψει ἀσθενής. αὐτὴ δὲ ἀγλυκὺς, καὶ ὀκ δύχυλος. ἀεὶ μὲν δὴ τὰ φυτὰ ταῦτα πεδύπάρχοντα. ἀεὶ δὲ τὸ ἐλάφρος ἢ τὸ ἀέρος, ὅτι τὸ μὲν ξηρὸν, ὁ δ' ἀὴρ μελανός, ἄμφω δὲ ταῦτα εἰς πέψιν, ὁ μὲν τῷ σωπέψαι, ὁ δὲ τῷ διαθυραίνειν. ἐπεὶ ἢ ἐντεῦθεν αἱ ἄγριαι τε τῶν ἡμέρων δύσμόταται, ἢ αἱ ἐν πεδιάδι τῶν παλισκίων, ἢ μᾶλλον αἱ πρὸς μεσημβρίαν· ἅπασαι δι' αὖτο τροφὴν ἐλάττω ἢ τὸ πέψαι πλείω ἔχασιν. διὸ ἢ δι' δύαυξεῖς εἰς μῆκος, ἀλλὰ θαμνωδίεσται. ἢ γὰρ πάχος λαμβάνουσι, ἢ χίζουσι μᾶλλον, διὰ τὸ πολλὰς λαμβάνειν ἀρχὰς πέπονος τῶν θερμῶν, καὶ μεῖζουσι παντα χῆ. † τὸ δι' ἐν τοῖς παλισκίοις εἰς ἓν μόνον ἡ ὁρμὴ. διὸ καὶ μὴ κατὰ μᾶλλον αἱ ῥάβδοι μᾶλλον λαμβάνουσι, πάχει δ' ὄ. καὶ ἐκ τούτων αἱ βακτηρίαι, λαθάπερ ἄλλοθί τε ἢ ἐν Διοσῶ. κοινὸν δὲ ἴσως ὑπὲρ πάντων τῶν δένδρων τόδε. λοιπὸν δ' ὂν εἰπεῖν, διὰ τί ταῦτα ὀκ δύώδη. τούτων δι' αἰτιατέον δρόσον τὴν πρόσηλον. αὕτη δὲ πολλὴ πίπτουσα, λαθυραίνει τὰ μὲν ἄνθη καὶ ὑγρότερα τῇ φύσιν ὄντα, μᾶλλον· τὰ δὲ ἄμικτα ἐν ξηρᾷ, ἐλάττω, ἢ ἀθρύστερα. διὸ ἢ λιπαρῆ ἐλαίου μᾶλλον ἀπὸ τοῦ αὐτοῦ ὑγρότητος. ὁ δὲ μύρινος· σμικρὸν δὲ ἢ τὸ εἰρημένον ὑπὲρ αὐτοῦ· μικρόκαρπος γὰρ εἶναι δοκεῖ, διὰ τὸ μὴ λαμβάνειν τὸ ἦθος ὑφαλῆς ὕδωρ ἱκανόν. ὥστε τοῦ μὴ μύρινον, διὰ τοῦτο χρὴ θεατέον αἰτιάσασθαι τὰς αἰτίας. Τῶν δι' ἐν ποσὶ ψυχροῖς εὐόσμων, τῆς θερμότητα τῆς ἐν τῇ γῇ νομιστέον εἶναι. παντα χοῦ γὰρ θερμὸν τὸ πέπον, ἄλλο τε μὲν εὐθὺς πεφανίπλον, ὅτε δὲ κατακλώμενον· ὥσπερ ἢ ἐν τῇ τῆς ὀπώρας πέπανσι. πᾶν απλήσιον γὰρ τὸ συμβαῖνον. αὐξηθεῖσα μὴν γὰρ ἡ θερμότης εἰς τὴν γῆν, ἢ σπείλαιον μὴν, πέπων. διὰ ἢ ἐν τῇ γλίσχραν. καὶ διὰ τὴν ὑγρότητα ὀχ ὁμοίως ἐργάσεται τὸ θερμὸν· ἀλλὰ μὴ διαύτην, ὥστε μήτε τὸ ἐκ τοῦ ἀέρος διέχεσθαι ψυχρὸν, τό, τε ἐν αὐτῇ θερμὸν ἀκρατεύειν καὶ τηρεῖν. διὰ ὕδωρ γὰρ ἢ ἐν τῇ ἰλυρίδι βέλτιον ἢ ἴρις, ἢ ἐν μακεδυνίᾳ· ἐν δὲ τῇ θράκῃ, ἢ ταῖς ἔτι ψυχροτέραις ἅμα ἢ ἀπεπτοτέραις † ἄλλως ἄοσμος. ἢ γὰρ ἡ γῆ πίσσα, ἢ ἡ ὑγρότης πολλή, ἢ ὁ χειμὼν ἔκτοπος. ἐν ἢ ταῖς ἀλεεναῖς λεπταῖς, διὰ τῆς μελανότητα τὸ ἀέρος ἄοσμος. ὀκ ἴσην γὰρ ἡ αὐλιπερίσασις. ἐξ ἀμφοῖν δὲ ζητητέον, ὥσπερ ἢ ἐν τοῖς ὑπὲρ γῆς εὐόσμοις, ἢ ἐκ τοῦ ἐλαφρὸς καὶ ἐκ τοῦ ἀέρος, τὰς δυνάμεις τὰς εἰς τὴν πέψιν συνεργάσας. ὑπὲρ μὲν δὴ τούτων ἱκανῶς εἰρήσθω. τὰς δ' ὀσμὰς ἥδη δὲ τὰς ἀπ' ἀλλήλων οἱ λαρποὶ μὲν ὀχ ἕλκουσιν, ὁδ' ὅλως ὁδὲν τῶν ἐν τοῖς φυτοῖς μορίων, ὥστε γε ἢ ποιεῖν τι δῆλον. ὥστε ἢ πᾶσα φυτοβύομαι γ' ἐνία τῶν δρυμέων, οἷον λρόμμυα ἢ σκόροδα, οἷς στεφανώμασι. φασὶ γὰρ ὠφελεῖν εἰς εὐωδίαν. τοῦτο δι' εἰκὸς ἀληθὲς, δυοῖν θάτερον αἰπάσαιτ' ἂν τις. ἢ ὡς τὸ λακώδες ἀφαιρεμένων· ἕκαστον γὰρ δὴ βέφυκε τῷ οἰκείῳ, καὶ ἕλκει τὸ συγγενές· ἀφαιρεθέντος δὲ τοῦ λοιβίδος, λαθαρώτερον ἢ εὐωδέστερον τὸ λοιπόν. ἢ ὡς λατα ξηραινόντων τὸν τόπον, διὰ τὴν θερμότητα καὶ πολυβροφίαν· ἐν δὲ τοῖς ξηροῖς, ἅπαντα εὐοδμότερα. τοῦτο μὲν δὴ ὡς ἂν λαθ' ὑπόθεσιν εἰρήσθω. οἱ δὲ χυλοὶ χωριδέντες ἕλκουσι, καὶ μᾶλλον τό, τ' ἔλαιον ἢ οἶνος· ὃ δὴ ἢ ἄλογον φαίνεται, τί δ' ἢ ποτε τὸ μὲν ὕδωρ, ἢ λεπτομερὲς ὂν τοῦτο, ἢ ἄοδμον, ἢ ἄχυλον, ἢ ὅλως ὂν δίεδες, ὃ δίεχεται· τὰ δὲ, ἢ ἔνχυλα ἢ ὀδμώδη ἢ παχύτερα. δίεχεται δὲ ὁ οἶνος ἢ μὴ ἐμβαλλομένων, ἀλλὰ πλησίον ὄντων· ἕλκει γὰρ ἕως ἔχειν ἴνα ἀ θερμότητα ἐν ἑαυτῷ· τοῦτο γὰρ ἕλκον. τὸ δι' ὕδωρ ἧκιστα ἔχει, φύσει γὰρ ψυχρόν. τὸ δὲ ἢ δεξάμενόν τε ἅμα ἢ διατηροῦν, μὴ ὅτω σεγνόν ὡς λεπτὸν ἴν ἢ φυλακικὸν εἶναι. τὸ μὲν γὰρ δίεισιν, ὥσπερ ἰθμὸς ὀκ ἔχον ὃ σέγει· τὸ δὲ σωματωδέστερον ἢ πυκνότερον εἶστε τὸ δ' ἑξαθῆ, καὶ ζηρεῖν εὐφυὲς, πῶς ἅμφω συμμερίαν ἔχ)· ἅπερ ἀμφότερα τῷ οἴνῳ ἢ τῷ ἐλαίῳ συμβέβηκε. ἢ οἱ μυρεψοὶ δὲ τὰς ὀσμὰς εἰς τὸ ἔλαιον τίθενται· ἢ γὰρ ἄλλως ἀρμόττον πῶς τῇ χρείαν, ἢ ἅμα δύνανται μάλιστα θησαυρίζειν διὰ τὴν ἀμεταβλησίαν. τὸ δ' ὕδωρ εὐθὺς διαπνεῖ, ἢ ὥσπερ ἐκπλύνει ἢ δίησησιν. ἡ δὲ λεπτότης, ὥσπερ εἴπομεν, ἀχρήσιμος. ἐπεὶ ὁδ' ὁ ἀὴρ δύναται διατέχειν, ἀλλὰ διαπέναι μόνον. Τῶν δὲ ξηρῶν, μάλιστα μὲν ὅσα μανὰ ἢ ἄοσμα καὶ ἄχυλα· διαθάπερ ἔρια, ἢ τὰ ἱμάτια, καὶ εἴ τι ἄλλο τοιοῦτον. ἀ μὴν ἀλλὰ καὶ ὅσα χυλοὺς ἔχει, καὶ ὀσμὰς, ὥσπερ ἢ τὸ μῆλον· καὶ γὰρ τοῦτο δίεχεται ἢ ἕλκει τὰς ἐκ τῆς χυλοῦ ὀσμὰς· ἐγχυλεῖ γὰρ αὐτὰ μᾶλλ). χρὴ γάρ, ὡς ἁπλῶς εἰπεῖν, μήτε διατάξηρον εἶναι τὸ δεξάμενον, ὥσπερ τέφραν ἢ ἄμμον, μήτε διάθυγρον. τὸ μὲν γὰρ διίεσθαι ὀχ ἅπεται, ἐν δὲ τῷ διαχεῖται ἢ ἐκπλύζεται. διὰ ὕδωρ γὰρ καὶ τὰ ἴχνη τῆς λαγῶς εὐσημότερα ψεκαδέντα μαλακῶς ὑπὸ

αὐτῆς τῆς κυνηγίαν. ἐμμένει γὰρ μᾶλλον διὰ τὸ σφοδρῶς ἀπερείδεσθαι καὶ εἰς βάθος, καὶ οὐχ ὥσπερ ξηρᾶς οὔσης ὑπὸ πολῆς, οὐδ' αὖ πηλώδους, ὥσπερ ἐφ' ὕδατι καὶ νότῳ. ἐναντία γὰρ καὶ τὰ πνεύματα καὶ τὰ ὕδατα, καὶ ἀπόλλυσιν ἄμφω τὰς ὀσμάς. ἀλλὰ δεῖ καθάπερ ἀπομαγματα τῶν δακτυλίων μέσην τινὰ ἔχειν κράσιν. καὶ περὶ μὴ τούτων ἅλις. ἐπεὶ δὲ τὰ μὴ ἥμερα, τὰ δ' ἄγρια τῶν εὐόσμων, οὐκ ἀκολουθεῖ κατὰ τὸ γένος ὅλως τὸ εὐοσμότερον, καθάπερ τὸ ῥόδον· ἔνθα δὲ τὸ ἄγριον, ὥσπερ τὸ ἴον τὸ μέλαν, καὶ ὁ κρόκος. ὁ δ' ἔρπυλος, καὶ τὸ ἐλένιον, δριμύτερα· καθάπερ καὶ τῶν λαχανωδῶν, τὸ πήγανον. αἴτιον δὲ, ὡς μὲν εἰπεῖν καθόλου, τὸ καὶ πρότερον λεχθέν· ὅτι τὴν συμμετρίαν ἑκάτερα λαμβάνει δι' ἑκατέρου τῆς ὑγρότητος καὶ ξηρότητος, ἐξ ὧν αἱ ὀσμαί. ὡς δὲ καθ' ἕκαστα, φανερὸν ὑπὸ σκοποῦσι. τὸ μὲν γὰρ ἴον τὸ μέλαν, καὶ κρόκος, οὔτε πολλῆς δεῖται τροφῆς, ἐξ αὑτῶν θ' ἱκανὴν· κεφαλόρριζα γάρ. ὥστ' ἐν τοῖς ἡμέροις ἡ πλείων ἀπεπτοτέρα. διὰ τοῦτο γὰρ καὶ τῶν μὲν τέφραν περιβάλλουσι, τὰ δὲ πατοῦσι. τὸ δὲ ῥόδον καὶ ὁ ἔρπυλος, καὶ ὅσα ὅμοια τούτοις, ἄγρια μὲν ὄντα ξηρότερα τοῦ συμμέτρου γίνεται. διὸ τὸ μὲν ῥόδον ἀσθενὲς, οἷον τὸ ἄοδμον ἄνικμον ὄν. οὐδὲ γὰρ τὸ ἴον τὸ λευκὸν ἐν ταῖς ἄγαν ξηραῖς καὶ λεπταῖς εὔοσμον, οὐδ' ὅπου θερμὸς σφόδρα καὶ ἔμπυρος ὁ ἀήρ· ἀναξηραίνει γαρ. ὁ δ' ἔρπυλος καὶ τὸ ἐλένιον, καὶ τἄλλα τὰ τοιαῦτα, διὰ τὴν ξηρότητα δριμείας γ' ἂν ἴσχη καὶ σκληρὰς τὰς ὀδμαὶς· ἡμερούμενα δὲ, μαλακωτέρας. ἡ δὲ συμμετρία, διότι καὶ πέψιν ποιεῖ καὶ εὐοσμίαν, φανερόν. ἐπεὶ καὶ τῶν εὐωδῶν ὀσμαὶ, πρὸς τῷ κατὰ φύσιν καὶ τῆς τοῦ ἀέρος εὐκρασίαν ἀπαιτοῦσιν, ὥστ' ἀναμίγνυσθαι μήτε κωλύεσθαι μήδ' ὑφ' ἑνός. ἔοικε γὰρ τοιοῦτόν τι συμβαίνειν καὶ περὶ τὰ ἴχνη τῶν λαγωῶν, ὡς ἀρτίως ἐμνήσθημεν. οὔτε γὰρ θέρους εὔοσμα, οὔτε χειμῶνος, οὔτε ἦρος, ἀλλὰ μαλιστα τοῦ φθινοπώρου. χειμῶνος μὲν γὰρ ὑγρὰ, θέρους δ' οὔ, ξηρανθέντα· διὸ καὶ μεσημβρίας χείριστα. τοῦ δ' ἦρος αἱ τῶν ἀνθῶν ὀσμαὶ πρόγνοχλοῦσι.

κράσιν τὸ δὲ μετόπωρον σύμμετρον ἔχει πρὸς ἅπαντα τὴν † ὅρασιν. περὶ μὲν οὖν ὀσμῶν καὶ χυλῶν τῶν ἐν τοῖς φυτοῖς καὶ καρποῖς, ἐκ τούτων θεωρητέον. ὅσα δ' ἤδη κατὰ τὰς μίξεις καὶ τὰ πάθη πρὸς ἄλληλα, καὶ τὰς δυνάμεις, ταῦτα καθ' αὑτὰ λεκτέον.

ΤΕΛΟΣ.

ΑΝΩΝΥΜΟΥ ΤΙΝΟΣ ΕΙΣ ΤΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΕΡΙ φυτῶν πεοίμιον.



ΤΩ ΤΗΣ Ἀριστοτελικῆς ἀειθαλεῖ φιλοσοφίας λειμῶνι, πολλαὶ μὲν καὶ ἄλλαι δέλτοι κατὰ τὰ εὐγενῆ παραπεφύκασι τῶν φυτῶν, παμφόρους μὲν οἷς θεωροῦμεν, πολύχοας δὲ καὶ οἷς διαπραττόμεθα, πεοϊέμεναι τοὺς καρπούς. ἦν δὲ πεὸς ταῖς ἄλλαις, καὶ ἡ πεὶ τῶν ὅσα καὶ φυτῶν, εὐφυὲς βραχὺ μὲν, ἀλλὰ συχναῖς τὰ λοιπὰ χαρίσι βρύον, καλλίστοις ἐκφορίοις τοὺς τῶν λόγων ἐραστὰς δεξιούμενον, οὐ μόνον λέγω τοὺς ἡμετέρους τοὺς πάνυ τοὺς περιφανεῖς, τὰ δὲ λόγους καὶ τὴν σοφίαν ἀπαραμίλλους, καὶ τὴν σύνεσιν αὔσονας, ἀλλὰ καὶ τοὺς ἐκ μοίρας ἰταλιωτικῆς. καὶ οὐ τούτους μόνον, ἀλλὰ καὶ ὅσους τοιούτους οἶδα τῶν εὐδαιμόνων ἀῤῥαβῶν τρέφον, καὶ τῶν ἰνδῶν. συχνὸν γὰρ ἐνέβαλεν ἵμερον τῶν ἑαυτοῦ συγγραμμάτων τοῖς ὁπουδήποτε φιλοσόφοις, ὁ ἐκ Σταγείρων ΑΡΙΣΤΟΤΕΛΗΣ φιλόσοφος. ἀλλὰ τοιοῦτον φυτὸν οὐκ οἶδ' ὅπως οὐ μόνον ἐν τισὶ πέπονθεν παρ' ἡμῖν ἀλλοίωσίν τινα, τάχα πεὶ τὸ χεῖρον (οἷα φιλεῖ ὁ χρόνος ποιεῖν) ἀλλὰ καὶ πεοθέλυμνον ἐκκοπεύ. * τὸ μὲν ὂν ἀποστροφὸν, ὡς οὐδ' ἄν ποτε φυτευσόμενον οἶδεν, οὐδεμὴ πεοσῆλθεν εὐ φῶς. ὑπέστη τὰ ἴσα καὶ ἰταλὸς μακρῶν χρόνων σὺν ἡμῖν χηρεύων τοῦ χρήματος. τοῖς ἄῤῥαψιν ἐγνωρίζετο μόνοις, οἵτινες τῶν τούτου καρπῶν ἀφθόνως ἀπήλαυον. ἀλλά τις κελτὸς μὲν τὸ γένος, εὐ τοσοῦτον δὲ τῆς τῶν ἰταλῶν σοφίας ἐλαύσας, ὡς τῶν πρωτείων παραχωρεῖν μηδενί, εἶτα βραχὺ τοῦτο καίπερ ὄν, μὴ τοσοῦτον καθ' ἑαυτὸν οἰηθεὶς, ἂν μὴ καὶ τὴν τῶν ἀῤῥαβῶν μετὰ τῶν λατίνων μεταλάβη γνῶσιν, καὶ τὴν καλλίστην ἕξιν ἀσκήσειεν, ὅλος γίνεται καὶ τοῦ ἔργου. καὶ εἰς πέρας τὴν γνώμην ἀγαγεῖν θέλει, καὶ τυχεῖν παντοίως τοῦ ἐφετοῦ. στέλλεται λοιπὸν τὴν ἀλλοδαπὴν, χρῆται τοῖς ἄῤῥαψι παιδευταῖς, καὶ τῇ εὐφυΐᾳ συμμετρήσας σπουδὴν, τοσοῦτον εὐμοιρῆσαι παιδείας φασὶν, ὡς δύνασθαι τὰ τῶν ἀῤῥαβῶν εἰς ἰταλοὺς, καὶ τὰ τῶν ἰταλῶν μεταπορθμεύειν εἰς ἄῤῥαβας. οὗτος οὖν πρός τισιν ἄλλαις, καὶ τὴν πεὶ φυτῶν τήνδε βίβλον μεθερμηνεύει. κἀκτῶν λογικῶν ἀῤῥαβικῶν λειμώνων, ὅσα καὶ φυτὸν εὐγενὲς, εἰς τὰς ἰταλικὰς μετακηπεύει φυταλιάς. ἔχαιρε γοῦν ἰταλὸς ὑπὲρ τούτῳ, καὶ τὰ μεγάλα ἐκόμπαζε. ταῖς ἀριστοτελικαῖς γὰρ φιλοτιμεῖσθαι βίβλοις ὑπὲρ πάντας βρενθύεται. καὶ τοσοῦτον ἐνεκαυχᾶτο τοῦ χρήματι, ξέρξης οὐχ ἧττον ἐκεῖνος, εἰς ἣν ὑπεσκιάσθη, καὶ ἦν χρυσέαν ἔδειξε πλάτανον. ἦλθον εἰς ὠνθυμίαν μακρὸς ἐξότου χρόνος κἀγὼ τοῦ φυτοῦ. λόγοι γάρ μοι τῶν τοῦ κόσμου πάντων χρῆμα τὸ τιμιώτατον. ἐπόθουν ἐμφορηθῆναι τῶν τούτου καρπῶν, τῶν νοημάτων εἰς ἕξιν ἐλθεῖν. ἐψυχαγώγει μοι τὴν ὠνθυμίαν ἐλπὶς, καὶ τὴν ἐλπίδα πάλιν εὐχὴ διεδέχετο. ἀλλὰ μέχρι πολλοῦ τὰ τῆς ὠνθυμίας ἀτέλεστα, ἡ ἐλπὶς, καὶ μόνον ἐλπὶς, τὰ δὲ τῆς εὐχῆς ἐπετείνετο. τί δ' ἡ τῶν ἀγαθῶν ἁπάντων παντελὴς αἰτία καὶ ὑπερτελὴς καὶ πεοτέλειος ἠρεμίαν τῇ ὠνθυμίᾳ χορηγεῖ, τῇ ἐλπίδι πέρας, καὶ τὰ τῆς αἰτήσεως τῇ εὐχῇ. ἰταλὸς γάρ τις ἔκποθεν ἡμῖν αἰφνιδίως ἀναφανεῖς, ἱκανῶς ἔχων λογικῆς παιδείας καὶ γνώσεως, πρόσεισι εὐ ἡμᾶς. ἀσπάζεται χαριέντως, τὰ φιλικὰ πεοσλαλεῖ. εἶτα τὴν ποθουμένην βίβλον ἡμῖν ἐγχειρίζεται. ἠυφράνθην αὐτὸς, ὡς ἐφ' ἑρμαίῳ τοῦ χρήματι. ἐδεξάμην τὴν βίβλον ἐκθύμως, ὅλως αὐτῆς ἐγενόμην. τὸν ἐγκείμενον νοῦν ἀνελεξάμην ὠμελῶς. καὶ οἷον ὡς ἐν ἐσόπτρῳ τῇδε, πρώτης αὐτῆς βαλβίδος, τὸν ἀριστοτέλην ἔγνων, καὶ τοὺς ἀριστοτελικοὺς κατὰ τῶν πάλαι φιλοσόφων ἀντιλογικοὺς ἐτασμούς. ἀδικεῖν δ' ᾠήθην μὰ τοὺς λόγους, τοὺς λόγους αὐτοὺς καὶ τοὺς αὐτῶν ἐραστὰς, καὶ γραφῆναι βασκάνου ψυχῆς ἠυλαβήθην, ἂν μὴ ταύτην ἱκανῶς ἔχων ὑπὸ τῆς ἄνωθεν χάριτος πεὸς τὴν ἑλλάδα μεθερμηνεύσαιμι γλῶτταν, καὶ ταῖς λοιπαῖς ἀριστοτελικαῖς δέλτοις δείξαιμι συναρίθμιον. τοῦ τοι καὶ σὺν θεῷ τὸ ἔργον διήνυσα, καὶ

νυσα, καὶ εἰς κοινὴν προὐθέμην τὴν βίβλον τοῖς αἱρουμένοις ἀπόλαυσιν, πολλὴν εὑρὼν τὴν δυσχέρειαν, καὶ τὴν τῶν νοημάτων σύγχυσιν, διὰ τὰς συχνὰς τῶν μεθερμηνεύσεων μεταβολὰς, ἐκ τῆς ἡμετέρας εἰς τὴν τῶν ἰταλῶν, εἰς τοὺς ἄῤῥαβας ἐκεῖθεν, καὶ πάλιν ἐξ ἀῤῥαβων εἰς ἰταλοὺς, καὶ εἰς ἡμᾶς ἐκ τούτων ἐπ' ἔσχατον. οὐ γὰρ διπρόσωπος, ὅσον ὑπὲρ ταύτῃ τῇ βίβλῳ, ὁ Σταγειρίτης ὤφθη, κατὰ τὸν θρυλλούμενον Ιάνον ἐκεῖνον, ὃν καὶ εἰς χρόνον ἄγει λόγος ἰσχνὸς, ἀλλὰ πολύμορφος, κατὰ τὸν πρωτέα τὸν φαρίον. ἐπεὶ δὲ πᾶσα δέλτος ἐκ μιᾶς πρὸς ἑτέραν μεταφερομένη διαλέκτου, ἢ κατὰ λέξιν ἢ κατ' ἔννοιαν προχωρεῖ, καὶ ἡ μὲν ὑστέρα τὸ σαφὲς ἔχουσα, τοι ἀκριβῶς ἀπολείπεται, ἡ δ' ἑτέρα καὶ πρότερα, προσόντος τοι ἀκριβοῦς, εἰς ἀσάφειαν καταστρέφεται, ἡμεῖς ὡς ἀσφαλεστέρῳ τούτῳ τοῦ μέρει καὶ ἀδιαβλήτῳ στοιχοῦντες, καθὼς καὶ ἐν ἑτέροις πεποιήκαμεν δέλτοις, τῆς ἀκριβείας ἐχόμεθα. ἵνα δὲ μὴ φαινοίμεθα καὶ χώραν τῇ ἀσαφείᾳ διδόντες, ἣν κακίαν παντελῆ τοῖς λόγοις ἐγνώκαμεν, ἐπανερμηνείαις τισὶ καὶ σχολικαῖς παρασημειώσεσιν, εἴ τί που ἐκ τῆς ἀσαφείας ἄχαρι καὶ ἀτερπὲς, ἐψυχαγωγήσαμεν. κἀκτῆς σκληρᾶς καὶ τραχείας τοὺς λογικοὺς ὁδίτας, εἰς τὴν λεῖαν τε καὶ πλατεῖαν ἐχειραγωγήσαμεν. καὶ τὴν εὐχαριστίαν τοῦ ὑπὲρ ἡμᾶς, καὶ τὴν ὡς εἰκὸς ἀνθομολόγησιν ἀπηνείμαμεν. τοῦτο γὰρ ἀφ' ἡμῶν ἀπαιτεῖ τῶν ὑπὸ χεῖρα ὁ μόνος σοφὸς καὶ δυνατὸς θεὸς, κατὰ τὸν θεῖον Ἀπόστολον. τίνος γὰρ ἄλλου δεῖται παρ' ἡμῶν, ὃς διὰ τινος τῶν προφυτῶν περὶ ἑαυτοῦ λέγει, τὸν οὐρανὸν πληροῦν, καὶ τὴν γῆν, καὶ οὗ ἡ οἰκουμένη, καὶ τὸ πλήρωμα αὐτῆς, κατὰ τὸν Δαβὶδ, καὶ μεθ' οὗ πᾶς ἀγρὸς παντοίοις ὡραϊσμένοις φυτοῖς.

ΤΟ ΠΕΡΙ ΦΥ

ΤΩΝ ΤΟΥ ἈΡΙΣΤΟΤΈΛΟΥΣ

βιβλίον πρῶτον.



ΗΖΩΗ ἐν τοῖς ζώοις καὶ ἐν τοῖς φυτοῖς εὑρέθη. ἀλλ' ἐν μὲν τοῖς ζώοις φανερὰ καὶ πρόδηλος· ἐν τοῖς φυτοῖς δὲ, κεκρυμμένη, καὶ οὐκ ἐμφανής. εἰς τὴν ταύτης γοῦν βεβαίωσιν πολλὴν ἀνάγκη ἐστὶ, ζήτησιν προηγήσασθαι. συνίσταται γὰρ, πότερον ἔχουσιν ἢ οὐχὶ τὰ φυτὰ ψυχὴν, καὶ δύναμιν ὑπνυμίας, ὀδύνης τε καὶ ἡδονῆς καὶ διακρίσεως. Ἀναξαγόρας μὲν οὖν καὶ Ἐμπεδοκλῆς, ὑπνυμίᾳ ταῦτα κινεῖσθαι λέγουσιν, αἰσθάνεσθαί τε καὶ λυπεῖσθαι, καὶ ἥδεσθαι διαβεβαιοῦνται. ὧν ὁ μὲν Ἀναξαγόρας καὶ ζῶα εἶναι, καὶ ἥδεσθαι, καὶ λυπεῖσθαι εἶπε, τῇ τε ἀπορροῇ τῶν φύλλων, καὶ τῇ αὐξήσει τοῦτο ἐκλαμβάνων. ὁ δὲ Ἐμπεδοκλῆς, γένος ἐν τούτοις κεκραμένον εἶναι ἐδόξασεν. ὡσαύτως καὶ ὁ Πλάτων ὑπνυμεῖν μόνον αὐτὰ, διὰ τὴν σφοδρὰν τῆς θρεπτικῆς δυνάμεως ἀνάγκην, ἔφησεν. ὃ ἐὰν συσταίη, ἥδεσθαι ὄντως αὐτὰ καὶ λυπεῖσθαι, αἰσθάνεσθαί τε σύμφωνον ἔσται. ἂν δὲ συσταίη τοῦτο, τοῦ ὑπνυμεῖν, εἰ καὶ ἀεὶ τοῦ ὕπνῳ ἀνακτῶνται, καὶ ἐγείρονται ταῖς ἐγρηγόρσεσι σύμφωνον ἔσται. ὡσαύτως καὶ ἐὰν ζητήσωμεν, εἰ πνοὴν καὶ γένος ἐκ συγκράσεως ἔχουσιν, ἢ τὸ ἐναντίον, πολλὴν ἂν τὴν περὶ τούτου ἀμφιβολίαν, καὶ μακρὰν ποιήσωμεν τὴν ζήτησιν. τὸ δὲ τὰ τοιαῦτα παραλιμπάνειν, καὶ μὴ εὐαναλώτοις περὶ τὰ καθ' ἕκαστον ἐρεύναις ἐνδιατρίβειν, πρέπον ἐστί. τινὲς δὲ ἔχειν ψυχὰς τὰ φυτὰ εἶπον, ὅτι γεννᾶσθαι, τρέφεσθαι, καὶ αὐξάνεσθαι, νεάζειν καὶ χλοάζειν, γήρᾳ τε διαλύεσθαι τεθεωρήκασιν. ἐπείπερ οὐδὲν ἄψυχον ταῦτα μετὰ

τῶν φυτῶν

τῶν φυτῶν ἔχει κίνησιν. διότι δὲ ἔχουσι ταῦτα τὰ φυτά, καὶ τὸ ὠθυμιᾶν ὡσαύτως διατέχεσθαι ἐπίδυον. ἀλλὰ πρῶτον τοῖς φανεροῖς, εἶτα καὶ τοῖς διακεκριμένοις ἀκολουθήσωμεν. λέγομεν τοίνυν, ὡς ἐὰν εἴ τι τρέφεται, ἦλιξ καὶ ὠθυμεῖ. καὶ ἀδ' αὔξεται μὲν τῷ πόρῳ, λυπᾶται δὲ ὅτε πεινᾷ. καὶ οὐκ ἐμπίπλουσιν αὗται αἱ διαθέσεις, εἰ μὴ μετὰ αἰσθήσεως. τούτου ἆρα θαυμαστὸν μὲν, οὐ μὴν φαῦλόν πλανᾶται σκώληξ, ὃς καὶ τὰ φυτὰ αἰσθάνεσθαι καὶ ὠθυμεῖν ἐδόξασεν. ὁ δὲ Ἀναξαγόρας, καὶ ὁ Δημόκριτος, καὶ ὁ Ἐμπεδοκλῆς, καὶ τοιοῦτοι καὶ γνῶσιν ἔχειν εἴπον τὰ φυτά. ἡμεῖς δὲ τὰ μὲν φαῦλα ἀπροφασίστως φαῦλα ἀπροφασίστως, διὰ τὴν ὑγιεῖ φωνὴν λόγῳ. λέγομεν οὖν, ὅτι τὰ φυτὰ, οὔτε ὠθυμίαν, οὔτε αἴσθησιν ἔχουσιν. ἡ γὰρ ὠθυμία, οὐκ ἔστιν εἰ μὴ διὰ αἰσθήσεως. καὶ τοῦτο ἡμετέρου δὲ θελήματος τέλος, πῶς τὴν αἴσθησιν ἀπροφάσιστον. οὐχ εὑρίσκομεν γοῦν γε τοῖς τοιούτοις αἴσθησιν, οὔτε μέλος αἰσθανόμενον, οὔτε ὁμοιότητα αὐτοῦ, οὔτε εἶδος διαφέρον, οὔτε τι ἀκόλουθον τούτῳ, οὔτε προπικὴν κίνησιν, οὔτε ὁδοῦ πρός τι αἴσθησιν, οὔτε σημεῖόν τι, διὰ οὗ ἂν κρίνωμεν ταῦτα αἴσθησιν ἔχειν, διαβὰς καὶ σημεῖα, διὰ ὧν ὠθούμεθα ταῦτα καὶ τρέφεσθαι καὶ αὐξάνεσθαι εὑρίσκομεν. οὐδὲ σωίσατο παρ' ἡμῶν ἂν, εἰ μὴ διότι τὸ θρεπτικὸν καὶ αὐξητικὸν νοοῦμεν μέρη εἶναι τῆς ψυχῆς. ὁπόταν γοῦν τοιοῦτο φυτὸν εὑρίσκωμεν τὸ μέρος ψυχῆς τοιαύτης γὰρ ἑαυτῷ ἔχον, δι' ἀνάγκης νοοῦμεν καὶ ψυχὴν ἔχειν αὐτό· ὅτε δὲ σῴζεται αἴσθησις, τό, τε αἰσθητικὸν αὐτὸ μὴ εἶναι, μὴ ἐγχωρεῖν οὐ δεῖ. ἡ γὰρ αἴσθησις αἰτία ἐστὶν ἐλαμψεως ζωῆς. τὸ δὲ θρεπτικὸν, αἰτία ἐστὶν αὐξήσεως τραφέντος τινὸς ζῶντος. αὗται δὲ αἱ διαφοραὶ βεβαίουσιν γὰρ τοῦ τόπῳ τούτῳ, ὅτι διυσνόητον γὰρ τοῦ μεταξὺ ζωῆς καὶ τῆς σῳρήσεως αὐτῆς, μέσον τι καταλαβεῖν. εἴποι δέ τις ἄν, ὡς ἐπεὶ τὸ φυτὸν ζῷον ἐστὶν, ἦλιξ ἔστω καὶ ζῷον, εἴπομεν ἂν οὐδαμῶς. καὶ γὰρ διυχορίες ὅτι τῷ διοικήσιν τοῦ φυτοῦ ἀποδιδόναι, τῇ διοικήσει τῆς ψυχῆς τοῦ ζώου. τὸ γὰρ τὰ φυτὰ τοῦ ζῷου ἀποφάσκον οὕτως, τοῦτο ἐστὶν ὅτι οὐκ αἰσθάνονται. καὶ γάρ εἰσι καὶ τινὰ ζῶα γνώσεως ἐσφηλία. ἐπεὶ δὲ ἡ φύσις τῷ τοῦ ζώου ζωῇ γε τοῦ θανάτῳ φθείρουσα πάλιν γε τοῦ ἰδίῳ γένει, ταύτῃ διὰ γενέσεως σωτηρεῖ, πάντα ἀσύμφωνόν ἐστιν, ἵνα μέσον ἐμψύχου τε καὶ ἀψύχου, ἄλλο τι μέσον τιθῶμεν. ὥσαμεθα ὅτι καὶ τὰ διογχύλια εἰσὶ ζῶα, γνώσεως ἐσφηλία. διότι εἰσὶ φυτὰ γε τοῦ τοῦ καὶ ζῶα. μόνη ἆρα ἡ αἴσθησίς ἐστιν αἰτία, διὰ ἣν ταῦτα λέγονται ζῶα. τὰ γὰρ γένη διαδόσει τοῖς οἰκείοις εἴδεσιν, ὀνόματα καὶ ὁρισμούς. τὰ δὲ εἴδη τοῖς οἰκείοις ἀτόμοις ὀνόματα, διὰ τε τὸ γένος ἐκ μιᾶς καὶ κοινῆς αἰτίας εἶναι γε τῆς πολλοῖς, καὶ οὐκ ἐκ πολλῶν. ὁ λόγος δὲ τῆς αἰτίας, διὰ ἣν βεβαιοῦται τὸ γένος, οὐ τοῦ τυχόντος ὅτι γνώσιμος. πάλιν εἰσὶ ζῶα, ἅπερ σῳροῦται γένους θήλεος, ἕτερα ἅπερ οὐ γεννῶσιν, ἕτερα ἅπερ κίνησιν οὐκ ἔχουσι. καὶ εἰσὶν ἄλλα διαφόρων χρωμάτων, καὶ εἰσί τινα ἃ ποιοῦσι τόκον ἑαυτοῖς ἀνόμοιον. εἰσί τε ἄλλα, ἃ αὐξάνουσιν ἐκ τῆς γῆς, ἢ ἐκ τοῦ ὕδατος. τίς οὖν ἐστὶν ἡ ἀρχὴ, ἢ γε τῇ ψυχῇ τοῦ ζώου; τί ἄλλο, εἰ μὴ τὸ συγγενὲς ζῷον, ὃ τὸν οὐρανὸν περιοδεύει, τὸν ἥλιον, τὰ ἄστρα, καὶ τοὺς πλανήτας. τὰ δὲ τῆς γενέσεως ἐξωτερικὰ ἀμφιβολίας, ἃ διὰ καὶ ἀπαθῆ εἰσιν. ἡ γὰρ αἴσθησις, τῷ αἰσθανομένῳ πάθος. ἰσέον δὲ, καὶ ὅτι οὐκ ἔχουσι τὰ φυτὰ κίνησιν ἐξ ἑαυτῶν. τῇ γὰρ γῇ εἰσι πεπηγότα. ἡ δὲ γῆ, ἀκίνητός ἐστι. συλλογισώμεθα τοίνυν, πόθεν ἂν ταύτην ζωὴν, ἵνα ποιήσωμεν καὶ αὐτὰ αἰσθητικά. οὐ γὰρ παρέχει ταῦτα, ἐν πρᾶγμα κοινόν. λέγομεν δὲ, ὅτι τῆς ζωῆς τῶν ζώων κοινή ἐστιν αἰτία, ἡ αἴσθησις. αὕτη δὲ ποιεῖ διαφέρειν, μέσον ζωῆς καὶ θανάτου. ὁ οὐρανὸς δὲ, ἐπεὶ ἔχει διοίκησιν ὀλυγωτέραν καὶ ἀξιολογωτέραν τῆς ἡμετέρας διοικήσεως, ἀπεμακρύνθη τούτων. διὰ τοῦτο, ἵνα τὸ ζῷον τὸ τέλειον, καὶ τὸ πλανώμενον, ἔχῃ τι κοινὸν, καὶ δόξῃ ὁ σκώληξ τῆς ζωῆς. τῇ ταύτης γοῦν σεμνύνεσθαι διὰ, ἵνα πρός τις ἀποχωρεῖ τῶν τοιούτων ὀνομάτων, ὅτι οὐκ ἔστι μέσον. ἡ διὰ ζωὴ, ἔστι μέσον. τὸ γὰρ ἄψυχον οὐκ ἔχει ψυχὴν, οὐδὲ τι τῶν μερῶν αὐτῆς. τὸ δὲ φυτὸν, οὐκ ἔστιν ἐκ τῶν σῳρουμένων ψυχῆς, ὅπου γε οὐ τοῦ δοκεῖ τι μέρος ψυχῆς. ἀλλ' οὐκ ὀδοῦ ζῷον, ὅπου δὲ αἴσθησις γε αὐτῷ. δι' ἐρχεται δὲ ἐκ ζωῆς εἰς μὴ ζωὴν διὰ τὰ βραχύ, ὡς καὶ τὰ διαδέσμου. διωσάμεθα δὲ καὶ ἄλλως λέγειν, ὅτι ἐμψυχον τὸ φυτὸν, καὶ οὐ λέγομεν ὅτι ἄψυχον. εἰ

ἔχει δὲ ψυχὴν, οὐ λέγομεν ὅτι καὶ τινὰ ἤδη ἔχει αἴσθησιν. πρᾶγμα γὰρ τὸ τρεφόμενον, οὐκ ἔστιν ἄνευ ψυχῆς. πᾶν δὲ ζῶον ἔχει ψυχήν. τὸ δὲ φυτὸν, ἔστιν ἀτελὲς πρᾶγμα. πάλιν τὸ ζῶον, ἔχει μέλη διωρισμένα. τὸ φυτὸν, ἀδιόριστα. ἔχει δὲ ὕλην, οἰκείαν κινήσεως, ἣν ἔχει ἐν ἑαυτῷ. πάλιν δυναίμεθα λέγειν, τὰ φυτὰ ψυχὴν ἔχειν, ὅτι ψυχή ἐστιν ἡ ποιοῦσα ἐν αὐτοῖς γεννᾶσθαι τὰς κινήσεις. ὠθυμία δὲ καὶ κίνησις, ἡ ἐν τόποις, οὐκ ἔστιν εἰ μὴ μετὰ αἰσθήσεως. πάλιν τὸ ἕλκειν τροφὴν, ἔστιν ἐξ ἀρχῆς φυσικῆς. καὶ τοῦτ' αὐτό ἐστι τὸ κοινὸν ζῶον καὶ φυτοῦ. οὐκ ἔσται δὲ φροντὶς ὠθὴ τῇ ἑλκύσει τῆς τροφῆς, αἰσθήσεως τὸ παραίπαν. ὅτι πᾶν τὸ τρεφόμενον, χρήζει ἐν τῇ οἰκείᾳ τροφῇ, δύο ποιοτήτων τινῶν, θερμότητός φημι, καὶ ψυχρότητος. καὶ διὰ τοῦτο δεῖται τροφῆς ὑγρᾶς, ὁμοίως καὶ ξηρᾶς. ἡ δὲ θερμότης καὶ ἡ ψυχρότης, εὑρίσκεται ἐν βρώμασι ξηροῖς καὶ ὑγροῖς. οὐδεμία δὲ τῶν τοιούτων φύσεων, χωρίζεται τῆς συμμετόχου αὐτῆς. διὰ τοῦτο γὰρ καὶ πρώτως ἐγένετο ἡ τροφὴ τοῦ τρέφοντι συνεχὴς, ἕως καὶ εἰς αὐτὴν τὴν ὥραν τῆς φθορᾶς. καὶ ὀφείλουσι χρῆσθαι ταύτῃ τὸ ζῶον καὶ τὸ φυτὸν, τοιαύτῃ, ὁποῖον ἐστὶν ἑκάτερον αὐτῶν. διερευνήσωμεν οὖν καὶ τοῦτο, ὃ προηγήσατο ἐν τοῦ ἡμετέρῳ λόγῳ, περὶ ὠθυμίας φυτοῦ, καὶ κινήσεως αὐτοῦ, καὶ ψυχῆς ἰδίας, καὶ εἴ τι ἀναλύεται ἀπ' αὐτοῦ τοῦ φυτοῦ, ὅσον εἰς πνοήν. Ἀναξαγόρας γὰρ εἶπε, ταῦτα ἔχειν καὶ πνοήν. καὶ πῶς εἴπερ εὑρίσκομεν πολλὰ ζῶα μὴ ἔχοντα πνοήν. καὶ πάλιν εὑρίσκομεν ἀκριβῶς, ὅτι τὰ φυτὰ, οὔτε ὑπνώττουσιν, οὔτε γρηγορεῖν. τὸ γὰρ γρηγορεῖν οὐδὲν ἐστὶν, εἰ μὴ ἀπὸ διαθέσεως τῆς αἰσθήσεως. τὸ δὲ ὑπνώττειν οὐδὲν, εἰ μὴ ἀσθένεια αὐτῆς, καὶ οὐχ εὑρίσκονταί τι τούτων ἐν πράγματι. τρεφομένων μὲν πάσαις ὥραις κατὰ διοίκησιν μίαν, ἐν τῇ οἰκείᾳ δὲ φύσει μὴ αἰσθανομένων. τὸ γὰρ ζῶον ὅτε τρέφεται, τί συμβαίνει τὸ ἀναβαίνειν ἀναθυμίασιν ἀπὸ τῆς τροφῆς πρὸς τὴν κεφαλὴν αὐτοῦ, καὶ ὑπνώττειν ἐντεῦθεν πάντως, καὶ ὅταν καταναλωθῇ ἡ ἀναθυμίασις, ἡ ἀναβαίνουσα πρὸς τὴν κεφαλὴν, τό τε γρηγορεῖ. ἐν τισι δὲ τῶν ζώων ἔστιν αὕτη ἡ ἀναθυμίασις πολλὴ, καὶ τέως ὀλίγου ὑπνώττουσιν. ὁ δὲ νυσταγμός ἐστι, συνοχὴ τῆς κινήσεως. ἡ δὲ συνοχὴ πάλιν, ἠρεμία πράγματος κινουμένου. ὁ δὲ μαίλιστα καὶ κυρίως ἔστι ζητητέον ἐν ταύτῃ τῇ ὠθήσεμι, τοῦτο ἐστὶν ὅπερ εἶπεν ὁ Ἐμπεδοκλῆς, ἤγουν εἰ εὑρίσκεται ἐν τοῖς φυτοῖς γένος θῆλυ καὶ γένος ἄρρεν, καὶ εἰ ἔστιν εἶδος κεκραμένον ἐκ τούτων τῶν δύο γενῶν. λέγομεν τοίνυν, ὅτι τὸ ἄρρεν ὅτε γεννᾷ, εἰς ἄλλο γεννᾷ. καὶ εἰσὶν ἄμφω κεχωρισμένα ἀπ' ἀλλήλων. ἐπεὶ γοῦν εὑρίσκεται ἐν τοῖς φυτοῖς, ὅτι ἔχει τὰ φυτὰ γένος ἄρρεν καὶ θῆλυ. καὶ πάντως τὸ μὲν ἄρρεν ἔστι τραχύτερον, καὶ σκληρότερον, καὶ μᾶλλον φρίσσον. τὸ δὲ θῆλυ, ἀσθενέστερον, καὶ καρποφόρον πλέον. πάλιν ὀφείλομεν ζητεῖν, πότερον εὑρίσκονται ταῦτα τὰ δύο γένη κεκραμένα ἅμα ἐν τοῖς φυτοῖς, ὡς εἶπεν Ἐμπεδοκλῆς. ἀλλ' ἐγὼ οὐχ ὑπολαμβάνω τοῦτο τὸ πρᾶγμα οὕτως ἔχειν. τὰ γὰρ κεκραμένα, ὀφείλουσιν εἶναι πρώτον ἁπλᾶ ἐν ἑαυτοῖς. καὶ εἶναι καθ' αὑτὸ μὲν τὸ ἄρρεν, καθ' αὑτὸ δὲ τὸ θῆλυ, καὐτεῦθεν κιρνᾶσθαι. ἡ δὲ κρασις οὐκ ἔσται, εἰ μὴ διὰ τὴν εἰκεῖαν γένεσιν. εὑρέθη γοῦν ἐν τοῖς φυτοῖς πρὸ τῆς κρασεως κρασις, ἣ καὶ ὀφείλει εἶναι αἰτία ποιητικὴ καὶ παθητικὴ ἐν μιᾷ ὥρᾳ. ἀλλ' οὐχ εὑρίσκεται ἀρρενότης καὶ θηλύτης ἡνωμέναι ἐν τινι τῶν φυτῶν. εἰ δὲ τοῦτο οὕτως ἦν, τάχα ἂν τὸ φυτὸν ἦν τελειότερον τοῦ ζώου. καὶ πῶς, εἴπερ τὸ ζῶον οὐ δεῖται ἐν τῇ οἰκείᾳ γενέσει πράγματός τινος ἐξωτερικοῦ. τὸ δὲ φυτὸν τοῦτο, δεῖται ἐν τοῖς καιροῖς τοῦ ἔτους. δεῖται γὰρ ἡλίου, καὶ εὐκρασίας, καὶ τοῦ ἔαρος πλέον. καὶ τούτων δεῖται μᾶλλον ἐν τῇ ὥρᾳ τῆς ἐκφύσεως αὐτοῦ. ἔστι δὲ καί τις ἀρχὴ τῆς μὲν τροφῆς τῶν φυτῶν ἀπὸ τῆς γῆς, καὶ πάλιν ἀρχὴ ἑτέρα ἀπὸ τῆς γενέσεως τοῦ ἡλίου. εἶπε δὲ καὶ Ἀναξαγόρας, ὅτι ἡ ὑγρότης τούτων, ἔστιν ἀπὸ τῆς γῆς. καὶ διὰ τοῦτο ἔφη πρὸς Λεχίνεον, ὅτι ἡ γῆ μητὴρ μὲν ἐστὶ τῶν φυτῶν, ὁ δὲ ἥλιος πατήρ. ἀλλὰ τὴν κρᾶσιν τοῦ ἄρρενος τῶν φυτῶν καὶ τοῦ θήλεος, ὀφείλομεν διατυπώσασθαι, οὐχ οὕτως, ἀλλ' ἄλλῳ τινὶ τρόπῳ. οἷον ὅτι τὸ σπέρμα τοῦ φυτοῦ ὁμοίον ἐστὶν ἐγκυμονήσει ζώου, ἥ τις ἐστὶ μίξις ἄρρενός τε καὶ θήλεος. καὶ ὥσπερ ἐστὶν ἐν τοῖς ᾠοῖς ὅτε γίνεται νεοσσὸς, ἔστιν ἐντεῦθεν καὶ ἡ τροφὴ αὐτοῦ μέχρι καὶ αὐτῆς τῆς ὥρας τῆς συμπληρώσεως, καὶ τῆς οἰκείας ἐξόδου, καὶ τότε τὸ

θῆλυ

φαίνεται τὰ φύλλα, ὡς προείπομεν. τὰ δὲ τῶν δένδρων φύλλα, πίπτειν ἐστὶ διὰ τῆς ὠμοφορὰν τῆς ὀξείας ἀραιότητος. ὅταν γὰρ πεφθῇ ἡ ὑγρότης μετὰ τῆς ὕλης πυραμοδοῦτι, καὶ μετὰ ταῦτα κατεσχναίνουσι, καὶ ὅταν φανῇ ἡ ὕλη τῇ πέψει πεπληρωμένη, τότε τελείως βύονται τὰ ἄκρα τῶν πόρων ἄνω. καὶ διὰ ταῦτα ἐπεὶ τὰ φύλλα οὐκ ἔχουσιν ὕλην, ξηραίνοντι καὶ πίπτουσι. ἐὰν δὲ συμβῇ τὸ ἐναντίον, ὧν εἴπομεν, οὐ πίπτει τὸ φυτὸν εἰς στέρησιν τῶν ἰδίων φύλλων. ὅταν δὲ πάλιν νικήσῃ τὸ ψυτὸν ψυχρότης, θερμαίνει αὐτὸ ἡ ἐγκλειομένη τούτῳ θερμότης, καὶ ἡ φανέρωσις τῆς ψυχρότητος γίνεται ἐκτὸς ἐν τοῖς ἄκροις αὐτοῦ, καὶ ἀπτελοῦντι ἐντεῦθεν φύλλα γλαυκὰ, καὶ οὐδὲ πίπτουσιν, ὡς οὐδὲ ὑπὸ τῶν ἐλαιῶν καὶ τῶν μυρσινῶν καὶ τῶν λοιπῶν. ὁπόταν δὲ ἔχωσι τὰ δένδρα, καὶ τὰ φυτὰ, δύναμιν τοῦ ἕλκειν σφοδρῶς, γίνεται καρποφορία ὁμοῦ, ἥτις συμβαίνει, ὅτι χρῆται ἡ φύσις πέψει κατὰ διαδοχὴν συχνῇ, καὶ ἐν ἑκάστῃ πέψει καρπὸν προάγει πολύν. καὶ διὰ τοῦτο τινὰ φυτὰ, καὶ πολλάκις ἐν τῷ χρόνῳ καρποφοροῦσι. τὸ δὲ φυτὸν ὅπερ ἐστὶν, ὡς ἡ φύσις τοῦ ὕδατος, μόλις καρποφορεῖ, διὰ τὴν ὑπερκράτειαν τῆς ὑγρότητος, αὐτοῦ καὶ τὸν πλατυσμὸν τῶν ἰδίων πόρων, καὶ τὴν ἀπορροὴν τῶν ἰδίων ῥιζῶν. ὅτε δὲ ἰσχυροποιηθῇ τὸ θερμὸν, ταχύνεται ἡ τούτου πέψις, καὶ λεπτύνεται ἡ ὑγρότης, καὶ συμπήγνυται. οὐδ' οὕτως πάλιν γίνεσθαι συμβαίνει. καὶ τοῦτο εὑρίσκετι ἐν πάσαις ταῖς βοτάναις ταῖς λεπταῖς, ἀλλὰ δὴ καὶ ἔν τισι λαχανοῖς. φαιότης δὲ γίνετι, ἐν τόποις σφόδρα θερμοῖς, καὶ ἔστιν ἐν τούτοις ὀλίγος καρπὸς ἐκ τῆς ὑγρότητος. διότι εἰσὶ στενοὶ οἱ πόροι. ὅταν γοῦν θελήσῃ ἡ φύσις πέψιν ποιῆσαι, μὴ ἔχουσαν ὑγρότητα ἀρκοῦσαν τῇ ὕλῃ, τότε γίνοντι οἱ πόροι στενότεροι. ἐπαναστρέφει γοῦν ἡ πέψις, καὶ συνεχῆ ταύτην ποιεῖ ἡ θερμότης, καὶ φαίνετι τότε τὸ μέτον λευκοῦ καὶ μέλανος ἐν χρώματι. καὶ ὅτε τοῦτο τοιουτρόπως γένηται, τό τε τὸ ξύλον φθάνει γίνεσθαι μέλαν, καὶ πᾶν τὸ πλησιάζον τοῦ φαιοῦ. καὶ τοῦτο ἐστὶν ἰδεῖν ἀπὸ τοῦ ἐβένου, καὶ τῆς πτελέας. ὁ δὲ ἔβενος, καταδύεται ἐν τῷ ὕδατι, ὅτι τὰ μέρη αὐτοῦ εἰσι συμπεπηγότα, καὶ οἱ πόροι στενοὶ, καὶ ἀὴρ οὐκ εἰσέρχεται ἐν αὐτοῖς. ὁ δὲ ἐκ τῶν ξύλων τῶν λευκῶν βυθίζεται, ἔστι διὰ τὴν στενότητα τῶν πόρων, καὶ τὴν περιττότητα τῆς ὑγρότητος, τῆς βυούσης τοὺς πόρους, ὥστε μὴ ἐξέρχεσθαι ἀπ' αὐτῶν ἀέρα. τὸ δὲ ἄνθος, ἐκ λεπτῆς ὕλης μόνον ἐστὶν, ὅταν ἄρξητι ἡ πέψις. καὶ διὰ τοῦτο προηγεῖται τοῦ φυτοῦ, ὡς ἐδείξαμεν. ἐντεῦθεν οὖν δεικνύομεν καὶ τὴν αἰτίαν, δι' ἣν τὰ φυτὰ ἐκφέρουσι φύλλα πρότερον, εἶτα καρπούς. ὁ δὲ ἐν τῷ φυτῷ τῷ ἔχοντι στενοὺς πόρους γίνεται χρῶμα, ἔσται ἐν χρώματι καπφειρίνῳ. καὶ διότι συμπιέζοντι αὐτοῦ τὰ μέρη, εἰς λευκότητά τινα. ὅταν δὲ εἰς εὐκρασίαν φθάσῃ, ἔστι γλαυκόν. διότι δὲ τινὰ φυτὰ ἄνθη οὐκ ἔχουσιν, ἔστι ἡ αἰτία, ὅτι ὡς ὑπερπλεῖστον γίνεται τοῦτο διὰ τὴν διαφορὰν τῶν ἐν αὐτοῖς μερῶν, καὶ τῆς ἐν αὐτοῖς λεπτότητα καὶ τραχύτητα καὶ παχύτητα. οὐκ ἔχουσι δὲ ἄνθη φοίνικες συκαῖ, καὶ τὰ τούτοις ὅμοια. τὸ δὲ φυτὸν τὸ παχεῖς ἔχον φλοιοὺς, ἐκτείνεται κατὰ τῆς ἔκτασιν τῆς ὑγρότητος, καὶ τὴν † συναθήσιν τῆς θερμότητος. καὶ τοῦτο ἐστὶν ἐν τῇ πεύκῃ καὶ τῷ φοίνικι. τὸ δὲ φυτὸν τὸ γάλα ἐκβάλλον, ἔχει τοῦτο ἐν τῷ μέσῳ. ἔστι τε ἡ θερμότης ὑποκάτω ἰσχυροτέρα, καὶ μένει ἐκεῖ πιότης. ὁπόταν οὖν ἄρξητι ἡ θερμότης πέττειν, στρέφετι ἡ πιότης ἐν τῇ οἰκείᾳ ὑγρότητα, καὶ συμπήγνυσι ταύτην συμπήξει βραχείᾳ. καὶ θερμαινομένου τοῦ τόπου, γίνετι ἡ ὑγρότης λιπτρὰ, ὁμοία γάλακτι. ἐγείρεταί τε ἀναθυμίασις ἀπὸ τῆς ὑγρότητος, τῆς ἑλκούσης τε γάλα ἐκεῖνο εἰς τὰς ἀκρότητας, καὶ κατέχει ἡ ὑγρότης τῆς θερμότητα τῆς φαινομένην, καὶ οὕτω συμπήγνυτι τὸ γάλα. φύσις γὰρ ἐστὶ τῆς θερμότητος, τὸ συμπηγνύειν. ὁποῖ δή τι δὲ γάλα πολλῆς συμπήξεως, τό τε γίνετι, ὅταν ἐν τῷ δένδρῳ ψύχος φανῇ. συμπηγνύμενον γὰρ μετὰ ταῦτα, ἐξέρχετι τοῦ οἰκείου τόπου. καὶ ἐντεῦθεν ἐστὶ τὸ κόμι. τὸ κόμι δὲ τὸ θερμὸν, προέρχετι ἐν τῷ στάζεσθαι. ὁπόταν γοῦν τοῦ ἀέρος ἅψητι, συμπήγνυτι καὶ καταῤῥεῖ ἐν τόπῳ εὐκράτῳ, καὶ ἔστιν ὅμοιον ὕδατι. ἕτερον δὲ χέετι, καὶ συμπήγνυτι ὅμοιον λίθοις, ἢ κογχυλίοις. ὅτε δὲ κατὰ στράγγα ῥεῖ, μένον ἐν τοῦ οἰκείῳ εἴδει γίνετι, ὡς τὸ λεγόμενον σμηρίον. τὸ δὲ ἀλλοιούμενον, ὡς λίθος, ἔστι κατὰ τὸ φαινόμενον λίαν ψυχρόν. ποιεῖ δὲ τοῦτο ἡ θερμότης τοιοῦτον εἶναι. ὅταν δὲ ἡ ψύχος, καὶ καταῤῥῇ, ἀπολιθοῦται. πάλιν τῶν δένδρων τινὰ ἀλλοιοῦνται ἐν τῷ χειμῶνι. καὶ ποτὲ μὲν γίνονται χλοερὰ, ποτὲ δὲ γλαυκὰ, καὶ οὐ φθείρονται, οὔτε τὰ φύλλα αὐτῶν, οὔτε οἱ καρποί. ὅτι τὰ φυτὰ ἐν οἷς τοῦτο συμβαίνει, ἔχουσιν ἐπάνω θερμότητα παχεῖαν, καὶ ἐν ταῖς ῥίζαις ὑγρότητα λεπτήν. ὅθεν ἐν τῇ προόδῳ τοῦ ἔτους κατέχει ἡ ὑγρότης ἐκεῖνο τὸ χρῶμα, διὰ τῆς ψυχρότητα τοῦ ἀέρος. καὶ ὅτε παραβάλλει ἡ θερμότης πρὸς τῆς ψυχρότητα, ὠθεῖ ἡ θερμότης

Forte συνάθροισιν, uel συνίζησιν, uel συναύθησιν, uel συναίντησιν

μότης τὴν ὑγρότητα ἔξωθεν, μετὰ τοῦ ὅπερ ἔβαψε χρώματος τοῦ ἐν τῇ ὠμφανείᾳ τοῦ δένδρου, ἀκολουθοῦντος. ὅτι δὲ στρέφετε πάλιν ἡ ψυχρότης, καὶ ἡ ξηρότης εἰς ἐνέργειαν, καὶ ἡ ὑγρότης κατέχει τῆς θερμότητα, τότε τὸ χρῶμα φαίνετε τὸ γλαυκόν. πικρὸς δὲ γίνετε καρπὸς, ὅτε ἡ θερμότης καὶ ἡ ὑγρότης οὐκ εἰσὶ πλήρεις ἐν τῇ πέψει. ἡ ψυχρότης γὰρ, καὶ ἡ ξηρότης, ἐμποδίζουσι τῆς τελείωσιν. καὶ οὕτω στρέφετε εἰς πικρίαν ὁ καρπός. οὗτος σημεῖον, ὅτι τὸ πικρὸν εἰς πῦρ ἐμβληθὲν γλυκαίνετε. δένδρα δὲ ὅσα γεννῶντε ἐν ὕδατι ὀξώδει, ποιοῦσι καρπὸν γλυκύν. διότι τὸ ὀξῶδες ἕλκει μετὰ θερμότητος τοῦ ἡλίου, ὅπερ ἐστὶ τῆς ἰδίας † πιότητος. καὶ οὗτος ψυχρότης ἐστὶ, καὶ ξηρότης. καὐτεῦθεν ἀπεμένουσιν ὑγρότητές τινες ὀλίγαι ἐνδὸν γλυκεῖαι, θερμαίνεταί τε καὶ ἡ κοιλία τοῦ δένδρου, ὅταν προσμένη ἐς αὐτῆς ὁ ἥλιος. καὶ οὕτως γίνετε ὁ χυμὸς τοῦ καρποῦ, στύφος ὀλίγον. καὶ ὃς πλέον πεπεμμένος γένητε, διαλύετε κατὰ μικρὸν τὸ ὀξῶδες, ἔστ' ἂν καταναλωθῇ καὶ φανῇ ἡ γλυκύτης. ἔσται τοίνυν ὁ καρπὸς γλυκὺς, τὰ δὲ φύλλα αὐτοῦ καὶ οἱ ἀκραίμονες ξηροί. ὅταν δὲ τελειωθῇ ἡ πεπειρότης, ὠμὸς πλέον γίνετε ὁ καρπὸς πικρός. οὗτος δὲ ἐστὶ διὰ τῆς περισσὴν θερμότητα, μετὰ βραχείαν ὑγρότητα. καταναλίσκετε γὰρ ἡ ὑγρότης, ποιεῖτε ὁ καρπὸς τῆς θερμότητα ἀναβαίνειν, καὶ ἔστι τότε ὁ καρπὸς πικρός. γίνοντε δὲ καὶ οἱ πυρῆνες πυραμοειδεῖς, διὰ τῆς ἐφέλκυσιν τοῦ θερμοῦ, καὶ τῆς περιττὴν ψυχρότητα καὶ ὑγρότητα, τῆς ἐν τῆς κειμένην, ἃ εἰσὶν ἐκ γένους τοῦ ὀξώδους ὕδατος. μένει γὰρ τὸ ὑγρὸν ἐν μέσῳ, καὶ καταπυκνοῦτε, καὶ ἰσχναίνουσι τὰ ἄκρα. τὰ δένδρα δὲ τὰ ὄντα ἐν γῇ εὐκράτῳ, ὠμοσπεύδουσι τῆς πεπειρότητα, πρὸ τῶν χειμερινῶν ἡμερῶν, ὅτι ἡ θερμότης, ὅταν ἦ πλησίον τῆς εὐκρασίας, γένητε δὲ καὶ ἡ ὑγρότης φανερὰ, καὶ ὁ ἀὴρ καθαρὸς, καὶ οὐ δεῖτε ὁ καρπὸς πολλῆς θερμότητός τε καὶ πέψεως, σπεύδει τότε ἡ τοῦ δὲ πεπειρότης, καὶ πρόεισι πρὸ ἡμερῶν χειμερινῶν. ἐν πᾶσι γοῦν τοῖς δένδροις, ὅτε πρώτως φυτευθῶσιν, ὠμοκρατεῖ τε πικρὸν, ἢ τὸ στρυφνόν. ἐπεὶ ἡ ὑγρότης ὅταν ἐν τοῖς ἄκροις γένητε αὐτῶν, πέττει οὐδὲ τόπους οὐδὲ ὄντας ἐν τῷ μέσῳ τῶν δένδρων. ἐξ ὧν ἐστὶ καὶ ἡ ὕλη τῶν καρπῶν, προέρχετε ξηρότης, καὶ ἐπακολουθεῖ τῇ ὑγρότητι. καὶ οὕτω γίνετε ἡ πρώτη πέψις δριμεῖα, ἡ πικρὰ, ἡ στρυφνή. αἰτία δὲ ἐστὶ, ὅτι μετὰ θερμότητος καὶ ὑγρότητος ἐστὶ πέψις. ὅταν δὲ ὠμοκρατήσῃ ὑγρότης καὶ ξηρότης τοῦ θερμοῦ, ἔστιν ἐξ αὐτοῦ καρπὸς ἐν τῇ ἀρχῇ οὐκ εὔπεπτος. διότι ἡ γέννησις τοῦ καρποῦ, ἐν τῇ ἀρχῇ ἐστὶ χωρὶς γλυκύτητος. τῶν μυροβαλάνων δὲ δένδρων ἐν τῇ ἀρχῇ, ὅταν φανῶσιν οἱ καρποὶ εἰσὶ γλυκεῖς. κοινῶς δὲ εἰσὶ στρυφνοὶ, καὶ ἐν τῇ κραύσει αὐτῶν πικροί. αἰτία δὲ ἐστὶν, ὅτι τὸ δένδρον αὐτῶν ἔστιν ἀραιὸν τοῖς κλαδοῖς. ἐν ὥρᾳ δὲ πέψεως, ὅταν ὦσιν οἱ πόροι πλατεῖς, ἕπεται θερμότης τῇ ὑγρότητι, καὶ πεπειρούνται οἱ καρποὶ, καὶ εἰσὶν ἐν τῇ ἀρχῇ γλυκεῖς. πάλιν ἀκολούθως ἕλκει διὰ τὴν ἀραιότητα τοῦτο τὸ δένδρον πόρους, ὠμοκρατεῖ τε ψυχρότης καὶ ξηρότης τοῦ θερμοῦ καὶ ὑγροῦ· καὐτεῦθεν ἀλλοιοῦνται οἱ καρποὶ εἰς στρυφνότητα. ὠμοκρατεῖ πάλιν ὁ ἥλιος μετὰ τῆς θερμότητος, διὰ τῆς ἐφελκύσεως τῆς περιττῆς ξηρότητος, ἐν τῷ σπέρματι ἐκείνῳ, ὅπερ ἐστὶν ἐν τῇ ἐμφανείᾳ τῶν δένδρων, νικᾶ τε ἡ ψυχρότης τὴν ξηρότητα, καὶ εἰσὶν οἱ καρποὶ ἰσχυρᾶς στρυφνότητος. ἐντεῦθεν δὲ πάλιν ἀναβαίνει θερμότης φυσικὴ ἄνω, καὶ βοηθεῖ αὐτῇ ἡ θερμότης, τοῦ ἡλίου ἔξωθεν, νικᾶ τε ἡ θερμότης καὶ ἡ ξηρότης, καὶ γίνονται οἱ καρποὶ πικροί.

ποιότητος

ΤΈΛΟΣ.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕ
ΡΙ ΛΙΘΩΝ.



ΩΝ ἐν τῇ γῇ συνισταμένων, τὰ μὲν ἐστὶν ὕδατος, τὰ δὲ γῆς. ὕδατος μὲν, τὰ μεταλλευόμενα, καθαπερ ἄργυρος καὶ χρυσὸς, καὶ τ' ἄλλα· γῆς δὲ, λίθος τε, καὶ ὅσα λίθων εἴδη περιττότερα· καὶ εἴ τινες δὴ τῆς γῆς αὐτῆς ἰδιώτεραι φύσεις εἰσὶν, ἢ χρώμασιν, ἢ λειότησιν, ἢ πυκνότησιν, ἢ καὶ ἄλλῃ τινὶ δυναμει. περὶ μὲν οὖν τῶν μεταλλευομένων, ἐν ἄλλοις τε θεώρηται· περὶ δὲ τούτων, νῦν λέγωμεν. ἅπαντα οὖν ταῦτα χρὴ νομίζειν, ὡς ἁπλῶς εἰπεῖν, ἐκ καθαρᾶς τινος συνεστᾶναι καὶ ὁμαλῆς ὕλης εἴτε ῥοῆς, εἴτε διηθήσεως διά τινος γινομένης, εἴτε (ὡς ἀνωτέρω εἴρητ?) καὶ κατ' ἄλλον τρόπον ἐκκεκριμένης. τάχα γὰρ ἐνδέχετ? τὰ μὲν οὕτως, τὰ δ' ἐκείνως, τὰ δ' ἄλλως· ἀφ' ὧν δὴ καὶ τὸ λεῖον καὶ τὸ πυκνὸν καὶ τὸ σιλπνὸν, καὶ διαφανὲς, καὶ τ' ἄλλα τὰ τοιαῦτα ἔχουσι. καὶ ὅσῳ ἂν καὶ ὁμαλέστερον καὶ καθαρώτερον ἕκαστον ᾖ, τοσούτῳ καὶ ταῦτα μᾶλλον ὑπάρχει. τὸ γὰρ ὅλον, ὡς ἂν ἀκριβείας ἔχῃ τε κατὰ τὴν σύστασιν ἢ πῆξιν, οὕτως ἀκολουθεῖ καὶ τὰ ἀπ' ἐκείνων. ἡ δὲ πῆξις, τοῖς μὲν ἀπὸ θερμοῦ, τοῖς δ' ἀπὸ ψυχροῦ γίνεται. κωλύει γὰρ ἴσως οὐδὲν, ἔνια γένη λίθων ὑφ' ἑκατέρων συνίστασθαι τούτων. ἐπεὶ τάτε τῆς γῆς ἅπαντα, δόξειεν ὑπὸ πυρὸς, ἐπείπερ ἂν τοῖς ἐναντίοις ἑκάστων ἡ πῆξις καὶ ἡ τῆξις. ἰδιότητες δὲ πλείους εἰσὶν ἐν τοῖς λίθοις. ἐν γὰρ τῇ γῇ χρώμασί τε καὶ γλισχρότητι, καὶ λειότητι, καὶ πυκνότητι, καὶ τοῖς τοιούτοις αἱ πνοαὶ διαφοροι· κατὰ δὲ τὰ ἄλλα σπάνιοι. τοῖς δὲ λίθοις ἅπτεται, καὶ πρὸς ταῖς ἑαυταῖς αἱ κατὰ τὰς δυναμεις· οὔτε ποιεῖν, ἢ πάσχειν, ἢ τοῦ μὴ πάσχειν. τηκτοὶ γὰρ, οἱ δ' ἄτηκτοι· καὶ καυστοὶ, οἱ δ' ἄκαυστοι, καὶ ἄλλα τούτοις ὅμοια. καὶ ἐν αὐτῇ τῇ καύσει καὶ πυρώσει πλείους ἔχοντες διαφορὰς. ἔνιοι δὲ τοῖς χρώμασιν ἐξομοιοῦν * ται δυναμένοι τὸ ὕδωρ, ὥσπερ ἡ σμαραγδος. οἱ δ' ὅλως ἀπολιθοῦν, τὰ τιθέμενα εἰς ἑαυτούς. ἕτεροι δὲ ὁλκὴν τινὰ ποιεῖν. οἱ δὲ βασανίζειν τὸν χρυσὸν, καὶ τὸν ἄργυρον, ὥσπερ ἥτε καλουμένη λίθος ἡρακλεια, καὶ ἡ λυδή. θαυμασιωτάτη δὲ καὶ μεγίστη δύναμις, εἴπερ ἀληθὲς, ἡ τῶν τηκτῶν. γνωριμωτέρα δὲ τῶν καὶ ἐν πλείοσι κατὰ τὰς ἐργασίας· γλυπτοὶ γὰρ ἔνιοι, καὶ τορνευτοί, καὶ πριστοί. τῶν δὲ οὐδὲ ὅλως ἅπτεται σιδήριον. ἐνίων δὲ κακῶς καὶ μόλις. εἰσὶ δὲ πλείους καὶ ἄλλα κατὰ ταύτας * αἱ μὲν οὖν κατὰ τὰ χρώματα καὶ τὰς σκληρότητας, καὶ μαλακότητας καὶ λειότητας, καὶ τ' ἄλλα τὰ τοιαῦτα. διὸ τὸ περιττὸν πλείοσιν ὑπάρχουσιν, καὶ ἐνίοις γε κατὰ τόπον ὅλου· ἐξ ὧν δὴ καὶ διωνομασμέναι λιθοτομίαι, παρίων τε καὶ πεντελικῶν, καὶ χίων τε καὶ θηβαϊκῶν· καὶ ὡς ὁ περὶ αἴγυπτον ἐν θήβαις ἀλαβαστρίτης. καὶ γὰρ οὗτος μέγας τέμνεται. καὶ ὁ τοῦ ἐλέφαντι μόνος, ὁ χερνίτης καλούμενος· ἐν ᾗ πέπλῳ φασὶ καὶ δαρεῖον κεῖσθαι· καὶ ὁ πόρος, ὅμοιος τοῦ χρώματι καὶ τῇ πυκνότητι τοῦ παρίῳ. τὴν δὲ κουφότητα μόνον ἔχων τοῦ πόρου, διὸ καὶ ἐν τοῖς † σπαδιαζομένοις οἰκήμασιν, ὥσπερ διαίζωμα τιθέασιν αὐτὸν οἱ αἰγύπτιοι * σπουδιαζομένοις μέλας αὐτόθι διαφανὴς, ὁμοίως τοῦ χίῳ. καὶ παρ' ἄλλοις δὲ ἕτεροι πλει * αἱ μὲν οὖν τοιαῦται διαφοραὶ, καθαπερ ἐλέχθη, κοινότεραι πλείοσιν. αἱ δὲ κατὰ τὰς δυναμεις τὰς προειρημένας, οὐκ ἔτι τοῖς ὅλοις ὑπάρχουσιν, οὐδὲ συνχείαις λίθων, οὐδὲ μεγέθεσιν. ἔνιοι δὲ καὶ σπάνιοι πάμπαν εἰσί, καὶ σμικροί, καθαπερ ἥτε σμαραγδος, καὶ τὸ σάρδιον, καὶ ὁ ἄνθραξ, καὶ ἡ σαπφειρος, καὶ σχεδὸν * λόγον εἰς τὰ σφραγίδια γλυπτῶν. οἱ δὲ καὶ ἐν ἑτέροις εὑρίσκονται διακοπτομένοις. ὀλίγοι δὲ καὶ οἱ περὶ τὴν πύρωσιν καὶ καῦσιν, ὑπὲρ ὧν δὴ καὶ πρῶτον ἴσως λεκτέον, τίνας καὶ πόσας ἔχουσιν διαφοραὶς. κατὰ δὴ τὴν πύρωσιν οἱ μὲν τήκονται καὶ ῥέουσιν, ὥσπερ οἱ μεταλλευτοί· ῥεῖ γὰρ ἅμα τοῦ ἀργύρῳ καὶ τοῦ χαλκῷ καὶ σιδήρῳ, καὶ ἡ λίθος ἡ ἐκ τούτων. εἰ τοίνυν διὰ τὴν ὑγρότητα τῶν ὑπαρχόντων, εἴτε καὶ δι' αὐτάς. ὡσαύτως δὲ καὶ οἱ πυρομαχοι καὶ οἱ μιλίαι ῥέουσιν, οἷς ἐπιτιθέασιν οἱ καίοντες. οἱ δὲ καὶ ὅλως

δὲ καὶ ὅλως λέγουσι πάντας τήκεσθαι, πλὴν τοῦ μαρμάρου. τοῦτον δὲ κατακαίεσθαι, καὶ κονίαν ἐξ αὐτοῦ γίνεσθαι. δόξειε δ' ἂν οὕτως ὅλως ὠθὶ πλεῖον εἰρῆσθαι. πολλοὶ γὰρ οἱ ῥηγνύμενοι καὶ διαπηδῶντες, ὡς οὐ μαχομένου τὴν πύρωσιν, ὥσπερ οὐδ' ὁ κέραμος. ὃ καὶ κατὰ λόγον ἐστίν· οἵ τινες ἐξυγρασμένοι τυγχάνουσιν. τὸ γὰρ τηκτὸν, ἐνίκμον εἶναι ἀεί. καὶ ὑγρότητ' ἔχει πλείω. φασὶ δὲ καὶ τῶν ἡλιουμένων, τοὺς μὲν ἀναξηραίνεσθαι τελείως, ὥστ' ἀχρείους εἶναι, μὴ καταῤῥηχθέντας πάλιν καὶ συνεκμασθέντας· τοὺς δὲ καὶ μαλακωτέρους καὶ διαθραύστους μᾶλλον. φανερὸν δ' ὡς ἀμφοτέρων μὲν ἐξαιρεῖται τὴν ὑγρότητα. συμβαίνει δὲ τοὺς μὲν πυκνοὺς ἀποξηραινομένους, σκληρύνεσθαι· τοὺς δὲ μανοὺς, καὶ ὡς ἡ σύμφυσις τοιαύτη, θραυστοὺς εἶναι καὶ τηκτούς. ἐνίοι δὲ τῶν θραυστῶν ἀνθρακοῦνται τῇ θραύσει, καὶ διαμένουσι πλείω χρόνον· ὥσπερ οἱ περὶ Βίνας ἐν τοῦ μετάλλῳ, οὓς ὁ ποταμὸς καταφέρει. καίονται γὰρ, ὅταν ἄνθρακες ὠπτεθῶσι, καὶ μέχρι τούτου χρεῖαν φυσᾶ τις. εἶτ' ἀπομαραίνονται, καὶ πάλιν καίονται. διὸ καὶ πολὺν χρόνον ἡ χρῆσις. ἡ δ' ὡς μὴ Βαρεῖα σφόδρα, καὶ δυσχερής, ὃν καλοῦσι σπῖνον, ὃς κὴν ἐν τοῖς μετάλλοις, τοιοῦτος διακοπεὶς καὶ συντεθεὶς πρὸς ἑαυτὸν, ἐν τῷ ἡλίῳ τιθέμενος καίεται. καὶ μᾶλλον, ἐὰν ὠπψεκάσῃ καὶ περιῤῥάνῃ τις. ὁ δὲ λιπαραῖος ἐκφοροῦται τε τῇ καύσει, καὶ γίνεται κισηροειδής. ὥσθ' ἅμα τήν τε χρόαν μεταβάλλειν, καὶ τὴν πυκνότητα. μέλας τε γὰρ καὶ λεῖός ἐστι, καὶ πυκνὸς, ἄκαυστος ὤν. γίνεται δ' οὗτος ἐν τῇ κισσήρει διειλημμένος ἄλλοθι καὶ ἄλλοθι, καθάπερ ἐν κυθρισμῷ. καὶ οὐ συνεχὴς, ὥσπερ καὶ ἐν μήλῳ φασὶ τὴν κίσσηριν ἐν ἄλλῳ τινὶ λίθῳ γίνεσθαι. καίει μὲν τούτῳ, ὥσπερ ἀντιπεπονθὼς, πλὴν ὁ λίθος οὗτος οὐχ ὅμοιος τοῦ λιπαραίου. ἐκφοροῦται δὲ καὶ ὁ ἐν τετράδι τῆς σικελίας γινόμενος. τοῦτο δὲ τὸ χωρίον ἐστὶ κατὰ λιπάραν. ὁ δὲ λίθος ἐν τῇ ἄκρᾳ τῇ ἐρινεάδι καλουμένῃ πολύς. ὁμοίως ταῖς κίναις καιόμενος, ὀσμὴν ἀφίησιν ἀσφάλτου. τὸ δ' ἐκ τῆς κατακλίσεως ὅμοιον γίνεται τῇ κεκαυμένῃ. οὓς δὲ καλοῦσιν εὐθὺς ἄνθρακας τῶν θρυπτομένων διὰ τὴν χρείαν, εἰσὶ γεώδεις. ἐκκαίονται δὲ καὶ πυροῦνται, καθάπερ οἱ ἄνθρακες. εἰσὶ δὲ περί τε τὴν λυγιστικὴν, ὅπου καὶ τὸ ἤλεκτρον, καὶ ἐν τῇ ἰλίᾳ βαδιζόντων ὀλυμπίαζε τὴν δι' ὄρους, οἷς καὶ οἱ χαλκεῖς χρῶνται. εὑρέθη δέ ποτε * ἐγκαπτῆς ὕλης μετάλλοις, λίθος, ὃς τῇ μὲν ὄψει παρόμοιος ὢν ξύλῳ σαπρῷ. ὅτε δ' ὠπχέοιτό τις ἔλαιον, καίεται. καὶ ὅτ' ἐκκαυθείη, τότε παύεται καὶ αὐτὸς, ὥσπερ ἀπαθὴς ὤν. τῶν μὲν οὖν καιομένων σχεδὸν αὗται διαφοραί. ἄλλο δέ τι γένος ἐστὶ λίθων, ὥσπερ ἐξ ἐναντίων πεφυκὸς ἄκαυστον, ὅλως ἄνθραξ καλούμενος, ἐξ οὗ καὶ τὰ σφραγίδια γλύφουσιν, ἐρυθρὸν μὲν τῷ χρώματι, πρὸς δὲ τὸν ἥλιον τιθέμενον ἄνθρακος καιομένου ποιεῖ χρόαν. τιμιώτατον δ' ὡς εἰπεῖν. μικρὸν γὰρ σφοδρὸν τετταράκοντα χρυσῶν. ἄγεται δ' οὗτος ἐκ καρχηδόνος, καὶ μασσαλίας. οὐ καίεται δὲ ὁ περὶ μίλητον γωνιειδὴς ὤν. ἐν ᾧπερ καὶ τὰ ἑξάγωνα. καλοῦσι δ' ἄνθρακα καὶ τοῦτον, ὃ καὶ θαυμαστόν ἐστιν· ὅμοιον γὰρ τρόπον τινὰ καὶ τὸ τοῦ ἀδάμαντος. οὐ γὰρ οὐδ' ὥσπερ ἡ κίττηρις καὶ τέφρα, δόξειε δ' ἂν διὰ τὸ μηδὲν ἔχειν ὑγρὸν. ταῦτα γὰρ ἄκαυστα καὶ ἀπύρωτα, διὰ τὸ ἐξηρεῖσθαι τὸ ὑγρόν. ἐπεὶ καὶ τὸ ὅλον ἡ κίσσηρις ἐκ κατακαύσεως δοκεῖ τισι γίνεσθαι, πλὴν τῆς ἐκ τοῦ ἀφροῦ τῆς θαλάσσης συνισταμένης. λαμβάνουσι δὲ τὴν πίστιν διὰ τῆς αἰσθήσεως, ἔκ τε τῶν περὶ τοὺς κρατῆρας γενομένων, καὶ ἐκ τῆς διαβάρου λίθου τῆς φλογουμένης οὐ κισσηροῦται. μαρτυρεῖν δὲ καὶ οἱ τόποι δοκοῦσιν, ἐν οἷς ἡ γένεσις. καὶ γὰρ ἐν ταῖς μάλιστα καὶ ἡ κίσσηρις. τάχα δ' ἡ μὲν οὕτως, αἱ δ' ἄλλως. καὶ πλείους τρόποι τῆς γενέσεως. ἡ γὰρ ἐν νισύρῳ, καθάπερ ἐξ ἄμμου τινὸς ἔοικε συγκεῖσθαι. σημεῖον δὲ λαμβάνουσιν, ὅτι τῶν εὑρισκομένων ἐνίαι διαθρύπτονται ἐν ταῖς χερσὶν, ὥσπερ εἰς ἄμμον, διὰ τὸ μή πω συνεστᾶναι, μὴ δὲ συμπεπηγέναι. εὑρίσκουσι δ' ἀθρόας κατὰ μικρὰ χειροπληστίας, ὅτον πολλὰς ἢ μικρῷ μείζους, ὅταν ἀπαμείβωνται τ' ἄνω. ἐλαφρὰ δὲ σφόδρα καὶ ἡ ἄμμος, ἡ δ' αὖ καὶ ἐν μήλῳ πᾶσα μέν. ἔνια δ' αὖ ἐν λίθῳ τινὶ ἑτέρᾳ γίνεται, καθάπερ ἐλέχθη πρότερον. διαφορὰς δ' ἔχουσι πρὸς ἀλλήλας, καὶ χρώματι καὶ πυκνότητι καὶ βάρει. χρώματι μὲν, ὅτι μέλαινα ἐκ τοῦ ῥύακος, τοῦ ἐν σικελίᾳ, πυκνότητί τε καὶ βάρει, αὐτή τε καὶ μαλώδης. γίνεται γάρ τις καὶ τοιαύτη κίσσηρις, καὶ βάρος ἔχει καὶ πυκνότητα, καὶ ἐν τῇ χρήσει πολυτιμότερον τῆς ἑτέρας. τμητικὴ δὲ καὶ ἡ ἐκ τοῦ ῥικὸς μᾶλλον τῆς κορυφῆς καὶ λεύκης. τμητικωτάτη δ' ἐκ τῆς θα-

λάσσης

λαίσσης αὐτοῦ. καὶ περὶ μὲν τοῦ κισσηρίδος ὑπὸ τοσοῦτον εἰρήσθω. περὶ δὲ τῶν πυρουμένων, καὶ τῶν ἀπυρώτων λίθων, ἀφ' ὧν καὶ εἰς ἐσθῆτα ἐξέβημεν, ἐν ἄλλοις θεωρητέον τὰς αἰτίας. τῶν δὲ λίθων καὶ ἄλλαι * τυγχάνουσιν, ἐξ ὧν καὶ τὰ σφραγίδια γλύφουσιν· αἱ μὲν τῇ ὄψει μόνον, οἷον τὸ σάρδιον καὶ ἴασπις, καὶ ἡ σάπφειρος· αὕτη δ' ἐστὶν ὥσπερ χρυσόπαστος. ἡ δὲ σμάραγδος, καὶ δυνάμεις τινὰς ἔχει· τοῦ τε γὰρ ὕδατος, ὥσπερ εἴπομεν, ἐξομοιοῦται τὴν χρόαν ἑαυτῇ, μετρίᾳ μὲν οὖσα ἐλάττονος, ἡ δὲ μεγίστη πάντως, ἡ δὲ χειρίστη τοῦ καθ' αὑτὴν μόνον καὶ πρὸς τὰ ὄμματα ἀγαθή. διὸ καὶ τὰ σφραγίδια φοροῦσιν ἐξ αὐτοῦ, ὥστε βλέπειν. ἔστι δὲ σπανία, καὶ τὸ μέγεθος οὐ μεγάλη· πλὴν εἰ πιστεύειν ταῖς ἀναγραφαῖς δεῖ ὑπὲρ τῶν βασιλέων τῶν αἰγυπτίων * νους γάρ φασι κομισθῆναι ποτ' ἐν δώροις, παρὰ τοῦ βαβυλωνίων βασιλέως, μῆκος μὲν τετράπυχυν, πλάτος δὲ τρίπηχυν. ἀνακεῖσθαι δὲ καὶ ἐν τῷ τοῦ διὸς ὀβελίσκῳ σμαράγδους τέτταρας, μῆκος μὲν τετταράκοντα πηχῶν, εὖρος δὲ τῇ μὲν τέτταρας, τῇ δὲ δύο. ταῦτα μὲν οὖν ὅτι κατὰ τὴν ἐκείνων γραφήν. τῶν δὲ * ανῶν καιομένων ὑπὸ πολλῶν, ἡ ἐν τύρῳ μεγίστη στήλη γάρ ἐστιν εὐμεγέθης ἐν τῷ τοῦ ἡρακλέους ἱερῷ· εἰ μὴ ἄρα ψευδὴς σμαραγδος. καὶ γὰρ τοιαύτη γίνεταί τις φύσις. γίνεται δὲ ἐν τοῖς ἐν ἐφικτῷ καὶ γνωρίμοις τόποις, διτταχοῦ μάλιστα, περί τε κύπρον ἐν τοῖς χαλκορυχείοις, καὶ ἐν τῇ νήσῳ τῇ ὑπὸ καλουμένῃ καρχηδόνι. καὶ ἰδιωτέρους εὑρίσκουσιν ἐν ταύτῃ. μεταλλεύεται γάρ, ὥσπερ τ' ἄλλα, καὶ ἡ φύσις. κατὰ ῥάβδους ποιοῦσιν ἐν κύπρῳ αὐτὴν καθ' αὑτὴν πολλάς. εὑρίσκονται δὲ σπάνιαι, μέγεθος ἔχουσαι σφραγίδος· ἀλλ' ἐλάττους αἱ πολλαί. διὸ καὶ πρὸς τὴν κόλλησιν αὐτῇ χρῶνται τοῦ χρυσίου. κολλᾷ γάρ, ὥσπερ ἡ χρυσοκόλλα. καὶ ἔνιοί γε δὴ καὶ ὑπολαμβάνουσι τὴν αὐτὴν φύσιν εἶναι. καὶ γὰρ τὴν χρόαν παρόμοια τυγχάνουσιν· ἀλλ' ἡ μὲν χρυσοκόλλα δαψιλὴς καὶ ἐν τοῖς χρυσείοις, καὶ ἔτι μᾶλλον ἐν τοῖς χαλκορυχείοις, ὥσπερ ἐν τοῖς περὶ τοὺς τόπους. ἡ δὲ σμάραγδος σπανία, καθάπερ εἴρηται. δοκεῖ γὰρ ἐκ τοῖς ἰάσπιδος γίνεσθαι. φασὶ γὰρ εὑρεθῆναί ποτε ἐν κύπρῳ λίθον, ἧς τὸ μὲν ἥμισυ σμαραγδος ἦν, τὸ ἥμισυ δὲ ἴασπις, ὡς οὔπω μεταβεβληκείας ἀπὸ τοῦ ὕδατος. ἔστι δέ τις αὐτῆς ἐργασία πρὸς τὸ λαμπρόν. ἀρχὴ γὰρ οὖσα οὐ λαμπρά, αὐτή τε δὴ περιττὴ τῇ δυνάμει, καὶ τὸ λυγγούριον. καὶ γὰρ ἐκ τούτου γλύφεται τὰ σφραγίδια, καὶ ἔστι στερεωτάτη, καθάπερ λίθος. ἕλκει γάρ, ὥσπερ τὸ ἤλεκτρον. οἱ δέ φασιν οὐ μόνον καρφὴ καὶ ξύλον, ἀλλὰ καὶ χαλκὸν καὶ σίδηρον, ἐὰν ᾖ λεπτός· ὥσπερ καὶ Διοκλῆς ἔλεγεν. ἔτι διαφανῆ τε σφόδρα, καὶ ψυχρά. βέλτιον δὲ τὰ τῶν ἀγρίων, ἢ τὰ τῶν ἡμέρων· καὶ τὰ τῶν ἀρρένων, ἢ τὰ τῶν θηλείων· ὡς καὶ τῆς τροφῆς διαφερούσης, καὶ τοῦ πονεῖν ἢ μὴ πονεῖν. τὸ δ' ὑγρότερον. εὑρίσκουσι δ' ἀνορύττοντες οἱ ἔμπειροι. κατακρύπτεται γάρ, καὶ ἐπαμᾶται γῆν, ὅταν εὑρήσῃ. γίνεται δὲ καὶ κατεργασία τις αὐτοῦ πλεῖον. ἐπεὶ δὲ καὶ τὸ ἤλεκτρον λίθος. τὸ γὰρ ὀρυκτὸν, ὃ περιλυγγιστήν. καὶ τούτῳ ἂν ἡ τοῦ ἕλκειν δύναμις ἀκολουθείη. μάλιστα δ' ὅτι δῆλον, καὶ φανερωτάτη τὸν σίδηρον ἄγουσι. γίνεται δὲ καὶ αὕτη σπανία, καὶ ὀλιγαχοῦ. καὶ αὕτη μὲν δὴ συναριθμείσθω τὴν δύναμιν ὁμοίαν ἔχειν. ἐξ ὧν δὲ τὰ σφραγίδια ποιεῖται, καὶ ἄλλαι πλ[illegible]ιν· οἷον ἥδ' ὑαλοειδής, ἣ καὶ ἔμφασιν ποιεῖ καὶ διάφασιν· καὶ τὸ ἀνθράκιον, καὶ ἡ ὄμφαξ. ἔτι δὲ καὶ ἡ κρύσταλλος, καὶ τὸ ἀμέθυσον· ἄμφω δὲ διαφανῆ. εὑρίσκονται δὲ καὶ αὗται, καὶ τὸ σάρδιον, διακοπτομένων τινῶν πετρῶν· καὶ ἄλλαι δ' ὡς προείρηται πρότερον, διαφορὰς ἔχουσαι, καὶ συνώνυμοι πρὸς ἀλλήλας. τοῦ γὰρ σαρδίου, τὸ μὲν διαφανές, ἐρυθρότερον δέ, καλεῖται θῆλυ· τὸ δὲ διαφανὲς μὲν, μελάντερον δέ, καὶ ἄρσεν. καὶ τὰ λυγγούρια δ' ὡσαύτως· ὧν τὸ θῆλυ διαφανέστερον καὶ ξανθότερον. καλεῖται δὲ καὶ κυανὸς ὁ μὲν ἄρρεν, ὁ δὲ θῆλυ. μελάντερος δέ, ὁ ἄρρεν. τὸ δ' ὀνύχιον, μικτὴ λευκῷ καὶ φαιῷ παραλλήλα. τὸ δ' ἀμέθυσον, οἰνωπὸν τῇ χρόᾳ. καλὸς δὲ λίθος καὶ ὁ ἀχάτης, ὁ ἀπὸ τοῦ ἀχαίτου ποταμοῦ, τοῦ ἐν σικελίᾳ. καὶ πωλεῖται τίμιος. ἐν λαμψάκῳ δέ ποτ' ἐν τοῖς χρυσίοις εὑρέθη θαυμαστὴ λίθος, ἐξ ἧς ἀνενεχθείσης πρὸς στιραν, σφραγίδιον γλυφερὸν ἀνεπέμφθη βασιλεῖ διὰ τὸ περιττόν. καὶ αὗται μὲν ἅμα τῷ καλῷ, καὶ τὸ σπάνιον ἔχουσιν. αἱ δὲ δὴ ἐκ τοῦ ἑλλάδος, εὐτελέστεραι, οἷον τὸ ἀνθράκιον, τὸ ἐξερχόμενον τοῦ ἀρκαδίας. ἔστι δ' οὗτος μελάντερος τοῦ χίου, καθὸ ἐξ αὐτοῦ ποιοῦσι· καὶ ὁ τροιζήνιος. οὗτος δὲ ποικίλος, τὰ μὲν φοινικοῖς, τὰ δὲ λευκοῖς χρώμασι. ποικίλος δὲ καὶ ὁ κορίνθιος, τοῖς αὐτοῖς χρώμασι· πλὴν τὸ * χλωροειδέστερον. τὸ δ' ὅλον πολλοὶ τυγχάνουσιν οἱ τοιοῦτοι. ἀλλ'

ὑπὸ καλουμένῃ

τοι. ἀλλ' οἱ περιττοὶ σπάνιοι, καὶ ἐξ ὀλίγων τόπων· οἷον ἔκτε καρχηδόνος, καὶ ἐκ τῶν περὶ μασαλίαν, καὶ ἐξ αἰγύπτου, καὶ οὐδὲ κατάδου τόπους, καὶ συήνη πρὸς ἐλεφαντίνη πόλει, καὶ ἐκ τῆς ψεφὼ καλουμένης χώρας. καὶ ἐν κύπρῳ, ἥτε σμαραγδος καὶ ἡ ἴασπις. οἷς δὲ εἰς τὰ λιθόκολλα χρῶνται ἐκ τῆς βακτριανῆς, εἰσὶ πρὸς τῇ ἐρήμῳ. συλλέγουσι δ' αὐτοὺς ὑπὸ ἐτησίας, ἱππεῖς ἐξιόντες. τότε γὰρ ἐμφανεῖς γίνοντι, κινουμένης τῆς ἄμμου, διὰ τὸ μέγεθος τῶν πνευμάτων. εἰσὶ δὲ μικροὶ, καὶ οὐ μεγάλοι. τῶν σπουδαζομένων δὲ λίθων ἐστὶ καὶ ὁ μαργαρίτης καλούμενος, διαφανὴς μὲν τῇ φύσει. ποιοῦσι δ' ἐξ αὐτοῦ οὐδὲ πολυτελεῖς ὅρμους. γίνετι δὲ ἐν ὀστρείῳ τινὶ, παραπλησίῳ ταῖς πίνναις. φέρει δ' ἥτε ἰνδικὴ χώρα, καὶ νῆσοί τινες τῶν ἐν τῇ ἐρυθρᾷ. τὸ μὲν οὖν περιττὸν, σχεδὸν ἐν αὐταῖς. εἰσὶ δὲ καὶ ἄλλαι τινὲς, οἷον ὅτε ἐλέφας ὁ ὀρεκτός, ποικίλος μέλανι, καὶ ἣν καλοῦσι σάπφειρον. αὕτη γὰρ μέλαινα, οὐκ ἄγαν πόῤῥω τοῦ κυανοῦ τοῦ ἄῤῥενος. καὶ πρασίτις. αὕτη δὲ ἰώδης τῇ χρόᾳ. πυκνὴ δὲ καὶ αἱματίτις. αὕτη δ' αὐχμώδης, ἡ κατὰ τοὔνομα, ὡς αἵματος ξηροῦ πεπηγότος. ἄλλη δὴ καλουμένη, οὐ ξανθὴ μὲν τῆς χρόαν, ἔκλευκος δ' ὃ μᾶλλ) καλοῦσι χρῶμα οἱ δωρεῖς ξανθόν. τὸ γὰρ κουράλιον (καὶ γὰρ τοῦτ' ὥσπερ λίθος) τῇ χρόᾳ μὲν ἐρυθρὸν, περιφερὲς δ' ὡς ἂν ῥίζα. φύετι δὲ ἐν τῇ θαλάττῃ. τρόπον δέ τινα οὐ πόῤῥω τούτου τῇ φύσει, καὶ ὁ ἰνδικὸς κάλαμος ἀπολελιθωμένος. ταῦτα μὲν οὖν ἄλλης σκέψεως. τῶν δὲ λίθων πολλαί τινες αἱ φύσεις, καὶ τῶν μεταλλευομένων. ἔνια γὰρ ἅμα χρυσὸν ἔχουσι, καὶ ἄργυρον. πρὸ φανῆ δὲ μόνον ἄργυρ). βαρύτεραι δ' αὖτι πολὺ, καὶ τῇ ῥοπῇ, καὶ τῇ ὀσμῇ. καὶ κυανὸς αὐτοφυὴς, ἔχων ἐν ἑαυτῷ χρυσοκόλλαν. ἄλλη δὲ λίθος ὁμοία τῆς χρόαν τοῖς ἄνθραξι. βαρὸς δ' ἔχουσι τὸ ὅλον ἐν τοῖς μεταλλοις, πλεῖσαι καὶ ἰδιώτατι φύσεις εὑρίσκοντι τῶν τοιούτων. ὧν τὰ μὲν εἰσι γῆς, καθάπερ ὦχρα καὶ μίλτος. τὸ δ' οἷον ἄμμου, καθάπερ χρυσοκόλλα καὶ κυανός· τὰ δὲ κονίας, οἷον σανδαράκη, καὶ ἀῤῥενικὸν, καὶ ὅσα ὅμοια τούτοις. καὶ τῶν μὲν τοιούτων πλείους ἄν τις λάβοι τὰς ἰδιότητας. ἔνιαι δὲ λίθοι καὶ τὰς τοιαύτας ἔχουσι δυνάμεις, εἰς τὸ μὴ πάσχειν, ὥσπερ εἴπομεν· οἷον τὸ μὴ γλύφεσθαι σιδηρίοις, ἀλλὰ λίθοις ἑτέροις. ὅλως μὲν ἡ κατὰ τὰς ἐργασίας, καὶ τῶν μειζόνων λίθων πολλὴ διαφορά· πρισοὶ γὰρ. οἱ δὲ γλυπτοὶ, καθάπερ ἐλέχθη, καὶ τορνευτοὶ τυγχάνουσι· καθάπερ καὶ ἡ μαγνῆτις αὕτη λίθος, ἡ καὶ ὄψει περιττὸν ἔχουσα. καὶ ὥς γε δή τινες θαυμάζουσι, τῆς ὁμοίωσιν τοῦ ἀργύρῳ μηδαμῶς οὖσαν συγγενῆ. πλείους δ' εἰσὶν οἱ δεχόμενοι πάσας τὰς ἐργασίας. ἐπεὶ καὶ ἐν σίφνῳ τοιοῦτος τίς ἐστιν ὀρεκτός, ὡς τρία στάδια ἀπὸ θαλάττης στρογγύλος, καὶ βόλασος. καὶ τορνεύετι καὶ γλύφετι διὰ τὸ μαλακὸν, ὅταν πυρωθῇ τοῦ ἐλαίῳ· μέλας τε σφόδρα γίνετι, καὶ σκληρός. ποιοῦσι δ' ἐξ αὐτοῦ σκεύη τὰ ὑπόπεζα. οἱ μὲν τοιοῦτοι πάντες προσδέχοντι τὴν τοῦ σιδήρου δύναμιν. ἔνιοι δὲ λίθοις ἄλλοις γλύφοντι, σιδήροις δ' οὐ δύναντι, καθάπερ εἴπομεν. οἱ δὲ σιδήροις· μέναμ * δὲ καὶ εἰσὶν * παραπλησίως δὲ κάτω τὰ * μὴ τέμνεσθαι * σιδήρῳ, καί τοι καὶ στερεὸν ἔτε * ἰσχυρότερα τέμνει, καὶ σίδηρος λίθους σκληρότερος ὤν. ἄτοπον δὲ κἀκεῖνο φαίνετι. διότι ἡ μὲν ἀκόνη κατεσθίει τὸν σίδηρον, ὁ δὲ σίδηρος ταύτην μὲν δύνατι διαιρεῖν καὶ ῥυθμίζειν. ἐξ ἧς δ' αἱ σφραγίδες, οὐ. καὶ πάλιν ὁ λίθος, τῷ γλύφουσι τὰς σφρα[illegible]κ τούτου ἐστὶν, ἐξ οὗπερ αἱ ἀκόναι, ἢ ἐξ ὁμοίου τούτῳ. ἄγετι δὲ ἡ ἐξ ἀρμενίας. θαυμαστὴ δὲ φ[illegible] καὶ τῆς βασανιζούσης τὸν χρυσόν. δοκεῖ γὰρ δὴ τὴν τοιαύτην ἔχειν τῷ πυρὶ δύναμιν· καὶ γὰρ ἐκεῖνο δομιμάζει. διὸ καὶ ἀπροῦσί τινες, οὐκ ἄγαν οἰκείως ἀπροῦντες· οὐ γὰρ τὸν αὐτὸν τρόπον δοκιμάζει. ἀλλὰ τὸ μὲν πῦρ τῷ τὰ χρώματα μεταβάλλειν, καὶ ἀξιοῦν· ὁ δὲ λίθος, τῇ παρατρίψει. δύνατι γὰρ, ὡς ἔοικεν, ἐκλαμβάνειν τῆς ἑκάστου φύσιν· εὑρῆσθαι δέ φασιν νῦν ἀμείνω πολὺ τῆς πρότερον. ὥστε μὴ μόνον τὸν ἐκ τῆς καθάρσεως, ἀλλὰ καὶ τὸν χαλκὸν κατὰ χρυσὸν καὶ ἄργυρον γνωρίζειν, καὶ πόσον εἰς τὸν στατῆρα μέμικτι. σημεῖα δ' ἐστὶν αὐτοῖς ἀπὸ τοῦ ἐλαχίστου. ἐλάχιστον δὲ γίνετι κριθὴν, εἶτα κόλυμβον, εἶτα τεταρτημόριον, ἢ ἡμιόλιον ὀβολόν· ἐξ ὧν γνωρίζουσι τὸ καθῆκον. εὑρίσκοντι δὲ τοιαῦτι πᾶσαι ἐν τῷ ποταμῷ τμώλῳ. λεῖα δ' ἡ φύσις αὐτῶν, καὶ ψηφοειδής, πλατεῖα, οὐ στρογγύλη. μέγεθος δὲ, ὅσον διπλασία τῆς μεγίστης ψήφου. διαφέρει δ' αὐτῆς πρὸς τὴν δοκιμασίαν τὰ ἄνω πρὸς τὸν ἥλιον, ἢ τὰ κάτω. καὶ βέλτιον δοκιμάζει τὰ ἄνω, οὐδὲ δέον, ὅτι ξηρότερα τὰ ἄνω. κωλύει γὰρ ἡ ὑγρότης εἰς τὸ ἐκλαμβάνειν· ἐπειδὴ καὶ ἐν τοῖς καύμασιν τοῦ δοκιμάζειν χεῖρον. ἀνίησι γάρ τινα νοτίδα ἐξ αὐτῆς, δι' ἣν ἀπολισθαίνει. συμβαίνει δὲ οὐδὲ καὶ ἄλλοις τῶν λίθων, καὶ ἐξ ὧν τὰ ἀγάλματα ποιοῦσιν. ὃ καὶ σημεῖον ὑπολαμβάνει, ὡς ἴδιον τὸ τοῦ εἴδους. αἱ μὲν οὖν τῶν λίθων διαφοραὶ

καὶ δυνάμεις

καὶ λιπαίνεις χειρόν εἰσιν γὰ τόποις. αἱ δὲ τ γῆς, ἐλαττονες μ, ἰδιώτραι δὲ. τὸ μ γὰρ ἵπκεσθαι, καὶ ἄλλοισθαι, καὶ πάλιν ἀρασκληρύνεσθαι, καὶ ταύτη συμβαίνει· πίπτει μὲν γὰρ ταῖς χυδαῖς καὶ ὀρυκτοῖς, ὥσπερ καὶ ὁ λίθος. μαλαττεται δὲ, λίθος τε ποιοῦσιν· ὧν τὰς τε ποικίλας, καὶ τὰς ἄλλας τὰς σωτιθεμένας· ἁπάσας γὰρ πυρῶντες καὶ μαλαττοντες ποιοῦσιν. ἐὰν δὲ καὶ ὁ ὕελος ἐκ τ ὑελίδος, ὥς τινές φασι, καὶ αὕτη πυκνόσ γίνεται· ἰδιωτάτη δ' ἡ τ χαλκῷ μιγνυμένη. πρὸς γὰρ τὸ πίπτειν καὶ μίγνυσθαι, καὶ δεῖται ἔχειν πολιτῶν, ὥστε τῷ καττ τ χρόας ποιεῖν διαφοράν. πρὸς δὲ λιθικίαν ἔστι τις, ἣ ἔψεστ γῆ, καὶ γίνεται γλισχρά. ταύτη δ' ἀλέφουσι τὰς ἀμπέλους αὐτὴ ἐξ, πρὸς οὐ ἵππας. ἣ δ' ἂν λαμβάνῃ καὶ ταύτας τὰς διαφορὰς, ὅσαι πρὸς τὴν ἀρχιτέκτονα σύφυσιν· ἐπεὶ αἵ γε οὐ τοιοῦτον ποιοῦσαι χυμὸν, διαφόρους ἀλλήλων, ἵν' ἔχωσι φύσιν· ὥσπερ καὶ αἱ οὐ τῶν φυτῶν. ἀλλὰ μᾶλλον ἂν τις τὰς τοῖς χρώμασι διαριθμήσεις, οἷς περ καὶ οἱ γραφεῖς χρῶνται. καὶ γὰρ ἡ γένεσις τούτων, ὥσπερ ἐξ ἀρχῆς εἰπομεν, ἤτοι συῤῥοῆς τινος, ἢ διηθήσεως γινομένης. καὶ ἐνιαί γε δὴ φαίνεται ὥσπερ ψωμώδεις, καὶ οἷον κατακεκαυμένα, οἷον καὶ ἡ Κανδαρεκή, καὶ τὸ ἀῤῥωνικόν, καὶ τὰ ἄλλα τὰ διαῦτα· πάντα δ' ὡς ἁπλῶς εἰπεῖν, ἀπὸ τ αὐαθυμιάσεως, ταῦτα τ ξηρᾶς καὶ καπνώδους. εὑρίσκεται δὲ πάντα γὰ τοῖς μεταλλοις, τοῖς ἀργυρείοις καὶ χρυσείοις· ἔνια δὲ καὶ γὰ τοῖς χαλκουργείοις, οἷον ἀῤῥωνικόν, σανδαράκη, χρυσοκόλλα, μίλτος, ὤχρα, ἰανός. ἐλαχίστος ὁ ὅστος, καὶ κατ' ἐλαχίστα. τ δ' ἄλλων τ μὲν εἰσι ῥᾴδιοι· τὴν δ' ὤχραν ἀθρόαν ὡς φαντασίαν ἔστιν. μίλτῳ ὁ ὠχρὸν ἀπολιθοῦσι. ὥστε εἰς τὰ αὐθρείκελα χρῆσθαι οὐ βαφεῖς. καὶ ὤχραν αὐτ' ἀῤῥωνικόν, ἀλλὰ τὸ μηδὲν τῇ χρόᾳ διαφέρειν. λοιπὸν ὁ τἄλλα μίλτος τε καὶ ὤχρας ὄντων γὰ ἀχρᾶ μέταλλα· καὶ καὶ ταῦτα, καθάπερ γὰ καπνοδόκαι, καὶ ὀρύττεται πολλά. χαλεπὸν δὲ τοῖς μετάλλοις φασὶν εἶναι, τὸ πονίγεσθαι. ταχὺ γὰρ, καὶ γὰ ὀλίγῳ τ τὸ ποιεῖν. βελτίους ὁ ποιεῖ μίλτος ἡ κεῖα εἶναι· γίνονται γὰρ πλείους. ἡ μὲν δὴν ἐκ τῶν μετάλλων, ἐπιφάνειά καὶ τὰ σιδήρια ἔχει μίλτου. ἀλλὰ καὶ ἡ λιμνία, ἣν λαλοῦσιν ὠπικήν· αὕτη δ' ἔστιν ἡ λαπιδολοκική· λατάγεται δ' εἰς σινώπιδα· γὰ δὲ τοῦ μικρῷ μεταλλεύεται καθ' αὑτό. ἔστι δὲ αὐτῆς γένη δία· ἡ μὲν ἐρυθρὰ σφόδρα, ἡ ὁ ἐκλύνος, ἡ δὲ μέση. ταύτῃ αὐτάρκη λαλοῦμεν, διὰ τὸ μὴ μίγνυσθαι· τὰς δ' ἑτέρας μιγνύουσι, γίνεται τ' ἐκ τ ὤχρας λατακαιομένης, ἀλλὰ χείρων. τὸ δ' εὕρημα Κυδίου. συνεῖδε γὰρ ἐκείνου, ὡς φασι, λατακαυθέντος ἰανὸς ὢν τωλίου, τὴν ὤχραν ἰδὼν ἡμίκαυτον καὶ ὠφοινιγμένην. ἐλθόντα δ' εἰς τὰς λαμίνους χύτρας λιπὰς, πολιπλάσαντες πολύν. ὀπτῶσι γὰρ διάπυροι γινόμενοι. ὅσῳ δ' ἂν μᾶλλον ὠχρωθῶσι, τοσούτῳ μᾶλλον μελαντέραν καὶ ἀνθρακωδεστέραν ποιοῦσι. μαρτυρεῖ δ' ἂν ἡ γένεσις αὐτό. λόγου γὰρ τοῦ ὄντος ὠχρὸς ἅπαντα ταῦτα μεταβαλλόμενα, εἴπερ ὁμοίαν ἢ πλησίαν δεῖ τὴν γῆν ταύτην ἔχειν φυσικῶς νομίζειν. ἔστι δ' ὥσπερ καὶ μίλτος, ἡ μὲν αὐτόματος, ἡ δὲ τεχνική. καὶ ἰανὸς, ὁ μὲν αὐθαφυὴς, ὁ δὲ σκευασός, ὥσπερ γὰ αἰγυπτία. γένη δὲ ἰανοῦ τρία· ὁ αἰγύπτιος, καὶ σκύθης, καὶ τρίτος ὁ λύκριος. βέλτιστος δ' ὁ αἰγύπτιος, εἰς τὰ ἄκρα τὰ λεῴωματα· ὁ δὲ σκύθης, εἰς τὰ ὑπαρέστερα· σκευασὸς δ' ὁ αἰγύπτιος. γράφοντες τὰ πρὸς τὸς βασιλέας, καὶ τ τοῦ γράφοντι, τίς πρῶτος βασιλεὺς ἐπόησε χ[illegible]ανόν, μιμησάμενος τ αὐθαφυῆ. διὰ δὲ τὸ πέμπεσθαι πρὸς ἄλλων τε καὶ ἐκ φοινίκης φόρου ἰανοῦ, τ μὴ ἀπύρου, τ ὁ πεπυρωμένου. φασὶ δ' οἱ τὰ φαρμακα βίβοντες, τ μὴ ἰανὸν ἐξ ἑαυτοῦ ποιεῖν χρώματα τὰ παρα· τὸ μὴ πρῶτον ἐκ τῶν λεπτοτάτων λεπόσταθαι, τὸ ὁ λεύτερον ἐκ παχυτάτων μελάνεσθαι· ταῦτά τε διὰ γίνεσθαι γίνεσθαι· καὶ ἔτι τὸ ψιμύθιον. τίθεσθαι γὰ μόλιβδον ὑπὲρ ὄξους ἐν πίθοις, ὅταν ὁ λάβῃ πάχος ἡλίκον πλῆθος (λαμβάνει δὲ μάλιστα ἐν ἡμέραις δέκα) τότ' ἀνοίγουσιν, εἶτ' ἀπόξυουσιν, ὥσπερ εὑρῶν ἰανὰ ἀπ' αὐτ· καὶ πάλιν ἕως ἂν κατανάλωσωσι. τὸ δ' ἀποξυόμενον ἐν βιπτηρι βίβουσι, καὶ ἐφθὸν σιν ἀεί. τὸ δ' ἐκχεόμενον ὑφισάμενόν ὅτι τὸ ψιμύθιον. πλησίος δὲ καὶ ὁ ἰὸς γίνεται. χαλκὸς γὰ ἐρυθρός, ὑπὲρ βρυγὸς τίθεται, καὶ ἀποξύεται τὸν ἰὸν γενόμενον. ὅτου ἰὸν φαίνεται ἐπιμελῶς. γίνεται δὲ, καὶ ἐπιννάβαρι τὸ μὴ αὐθαφυὲς, τὸ δὲ κατ' ἐργασίαν. αὐθαφυὲς μὴ, τὸ πολιτικὴν σκληρὸν σφόδρα, καὶ λιθώδες, καὶ τὸ γὰ κόλχοις· τ τὸ δὲ φασιν εἶναι κεκαυμένον, ὃ κατακάλλυσι ξεδύοντες. τὸ δὲ κατ' ἐργασίαν, ὑπὲρ ἐφέσου μικρὸν, ἀπὸ ἑνὸς τόπου. μόνον δ' ὄντα ἄμμος, ἣν συλλέγουσι λαμπυρίζουσαν, καθάπερ ὁ κόκκος· ταύτῃ δὲ βίπτοντες ὅλως γὰ ἀγείοις λιθίνοις λειοτάτοις, πλύουσι γὰ χαλκοῦς μικρὸν γὰ καλοῖς. τὸ δ' ὑφισάμενον πάλιν λαβόντες, πλύουσι καὶ βίβουσι, γὰ ὥπερ ὅτι τὸ τ τέχνης. οἱ μὲν καὶ ἐκ τοῦ ἴσου πολὺ πολιτοποιοῦσι, οἱ δὲ ὀλίγου, ἢ

ἀθέρ. ἀλλὰ πλύσματα ἐπαύω χρῶντες, ἐν πᾶσι ἐν ἀλείφοντες. γίνεται δὲ τὸ μὲν ὑποκάμινον λεπτότερον, λιννοβαρι· τὸ δ' ἐπ' αὐτῷ καὶ πλεῖον, πλύσμα. λατταλεῖαι δέ φασι τὸ εὑρεῖν τὴν ἐργασίαν, Καλλίαν τινὰ ἀθηναῖον, ἐκ τῆς ἀργυρείας· ὃς οἰόμενος ἔχειν τὴν ἄμμον χρυσίον, δι' ἣν τὸ λαμπυρίζειν, ἐπραγματεύετο καὶ συνέλεγεν. ἐπεὶ δὲ ἤνθετο ὅτι οὐκ ἔχει, τὸ δὲ τῆς ἄμμου κάλλος ἐθαύμαζε διὰ τὴν χρόαν, ὅτως ὠνήσατο τὴν ἐργασίαν ἦλθε ταύτην. ὁ παλαιὸν δ' ἐστὶν, ἀλλὰ πρὸ ἔτη μάλιστα γενόμενον, εἰς ἄρχοντα Πραξίβουλον ἀθήνησι. φανερὸν δ' ἐκ τούτων, ὅτι μιμεῖται τὴν φύσιν ἡ τέχνη, τὰ δ' ἴδια ποιεῖ. καὶ τούτων τὰ μὴ χρήσεως χάριν, τὰ δὲ μόνον φαντασίας, ὥσπερ τὰς ἄλπεις. ἔνια δ' ἴσως ἀμφοῖν, ὥσπερ χυτὸν ἄργυρον. ἔστι γάρ τις χρόα καὶ τούτου. ποιεῖται δ' ὁταν τὶ * βιφθῇ μετ' ὄξους ἢ ἀχγέω χαλκῷ, καὶ διδίλυπι χαλκῷ. τὰ μὲν οὖν πιαίνοντα τάχ' ἄν τις λάβοι πλέω. τὰ δὲ μεταλλυτῶν τὰ ἢ τοῖς γεωφανέσιν ἐπὶ λοιπὰ, πρὸς ὧν ἡ γένεσις, ὥσπερ ἐλέχθη κατ' ἀρχάς, ἐκ συῤῥοῆς τινος καὶ ἐκκρίσεως γίνεται καθαρωτέρας καὶ ὁμαλωτέρας τῆς ἄλλων. χρώματα δὲ παντοῖα λαμβάνουσιν. καὶ διὰ τὴν * διάκειμένων * διὰ τὴν * όντων διαφοράν, ὧν τὰς μὲν μελαντοῦντες, τὰς δὲ πίνοντες καὶ βίβοντες, σωλιβέασι τὰς λίθους τὰς ἐκ τῆς ἀσίας ταύτας ἀγομένας. αἱ δ' αὐτοφυεῖς, καὶ ἅμα τῷ πρίεσθαι τὸ χρήσιμον ἔχουσαι, χειλοῦσθαι εἰσιν ἢ τέμπαρες· ἤτε μιλιῶδες, καὶ ἡ διμωλία, καὶ ἡ ξαμία, καὶ ἡ συμφαϊνική, καὶ τετάρτη πρὸς ταύτας ἡ γύψος. χρῶνται δὲ οἱ γραφεῖς τῇ μιλίᾳ διὰ μόνου τῆς διὰ λαίπορος ὅσα διαλῇ, διὰ τὸ λεῖπος ἔχειν καὶ ὠχνότητα, καὶ λειότητα. τὸ γὰρ ἄρεμον καὶ * δεῖ καὶ ἀλιπὲς, ὧν τὰ γραφῆς ἁρμόττει μᾶλλον· ὅπερ ἡ μιλιὰς ἔχει τῷ φάρισι. εἰσὶ καὶ γὰρ τῇ μήλῳ καὶ γὰρ τῇ σαμίᾳ διαφοραὶ τῆς γῆς πλείους. ὀρύττουσι μὲν οὖν ἐκ εἴσιν ὀρθὸν σῆσαι γὰρ εἰς σάμον, ἀλλ' ἀναγκαῖον ἢ ὑπτιον, ἢ πλάγιον. ἡ δὲ φλὲψ, ὧν πολὺ διατείνει. τὸ μὴ ὕψος ἡλίκην δίπλεθρος, τὸ δὲ βάθος πολλῷ μείζων. ἐφ' ἑκατέρα δ' αὐτῆς λίθοι πρόκεινται, ἐξ ὧν ἐξαιρεῖται διαφύσιν ἔχει διὰ μέσου ἡ διαφυή. βέλτιον δεῖν τὸ ἔξω, καὶ πάλιν ἑτέραν αὐτῇ καὶ ἑτέραν * ταχέως πεπαλαιωμένην δεῖν ἢ ἐχάτης, διαλεῖται ἀσὴς. χρῶνται δὲ τῇ γῇ πρὸς τὰ ἱμάτια μᾶλλον, ἢ μόνον. χρῶνται δὲ τῇ τυφικῇ πρὸς τὰ ἱμάτια, καὶ διαλύσει γύψου, οἱ πρὸς θαλάττῃ δὲ καὶ οὗτοι τόποις ἐκείνης. ἡ δὲ γύψος γίνεται πλείστη μὲν ἐν λύπρῳ, καὶ πρόφανεστάτη· μικρὸν γὰρ ἀφαιρεῖσι τῆς γῆς ὀρύττοντες. ἐν φοινίκῃ δέ, καὶ ἐν συρίᾳ διαίοντες οὗτοι λίθους ποιοῦσιν· ἔπειτα δ' ἐν θηρίοις· καὶ γ' ἐκεῖ γίνεται πολλή. τρίτη δ' ἡ πρὸς * τυμφιστὶ καὶ πρὸς πραιβίαν, καὶ κατ' ἄλλους τόπους. ἡ δὲ φύσις αὐτῆς διλία· λιθωδεστέρα γ' μᾶλλόν ἐστιν, ἢ γεώδης. ὁ δὲ λίθος ἐμφερὴς τῷ ἀλαβαστρίτῃ. μέγας δ' ὁ τόμος, ἀλλὰ χαλκώδης. ἡ δὲ γλισχρότης καὶ θερμότης, ὅταν ἐρεχθῇ, θαυμαστή. χρῶνται γὰρ πρός τε τὰ οἰκοδομήματα, ὥσπερ τῇ λίθῳ πρὸς τὰ διὰ λίθου βόλους τοιοῦτο κολλῆσαι. νήψαντες δὲ, καὶ ὕδωρ ἐπιχέοντες, παραμένουσι ξύλοις. τῇ χρεία γὰρ ὁ δύνανται διὰ τὴν θερμότητα. βρέχουσι δὲ πρὸς χρῆμα πρὸς τὴν χρείαν, ἐὰν μικρὸν πρότερον ταχὺ πήγνυται. καὶ ὀκέσει διελθεῖν θαῦμα. ὅτι δὲ καὶ ἰσχύς, ὅτι οἱ λίθοι ῥήγνυνται καὶ διαφέρονται, ἢ * μος αὐτῶν. πολλάκις δὲ καὶ τὰ μὴ πέπτωκε καὶ ὑφῆρται, τὰ δ' ἄνω ἐρεμάμενα καὶ σωεχόμενα τῇ κολλήσει, σώζεται καὶ ὑφαιρουμένη πάλιν καὶ πα * ὀπταῖς καὶ γίνεται χρησίμη. πρὸς μὲν οὖν λύπρον καὶ φοινίκην εἰς ταῦτα μάλιστα. πρὸς δὲ ἰταλίαν, καὶ εἰς τὸ οἰκεῖον. καὶ οἱ γραφεῖς ἔνια τῶν καὶ τῇ τέχνῃ· ἐπὶ δ' οἱ ἀναφεῖς ἐμπάττουσιν εἰς τὰ ἱμάτια. διαφέρειν δοκεῖ καὶ πρὸς τὰ ἀκμάτματα πολὺ τὰ ἄλλων. εἰς ὃ καὶ χρῶνται μᾶλλον, καὶ μάλιστ' οἱ περὶ τὴν ἐλάδα * χρότητι καὶ λειότητι. ἡ μὲν δύναμις ἐν τόποις καὶ τοῖς διὰ τοῖς. ἡ δὲ φύσις ἔοικεν ἀμφότερα πως ἔχειν, καὶ τὴν ἰονίας, καὶ τὴν τῆς θερμότητα καὶ γλισχρότητα· μᾶλλον δὲ ἑκατέρας ὑπερεχούσας. θερμοτέρα γὰρ ἡ ἰονίας, γλισχροτέρα δὲ πολὺ τῆς. ὅτι δ' ἔμπυρος, διὰ τοῦτο φανερόν. ἡ δὲ γὰρ τοῦ ναὸς ἱματισμὸς βρεχθεὶς ἱματίων, ὡς ἐπυρώθησαν, συγκατεκαύθη καὶ αὐτὸ. καίουσι δὲ καὶ ἐν φοινίκῃ καὶ ἐν συρίᾳ καμινεύοντες αὐτὴν, καὶ καίοντες. καίουσι δὲ μάλιστα οὗ μαρμάρου, καὶ ἁπλουστέρου. στερεωτάτου μὲν πρὸ καθιέντες * τὰ ἧττον καίεται, καὶ μᾶλλον. δοκεῖ γὰρ θερμότερον εἶν πυρωθὲν, καὶ πλεῖον χρόνον διαμένει. ὀπήσαντες δὲ κόπτουσιν, ὥσπερ τὴν κονίαν. ἐκ τούτου δ' ἂν δόξειεν εἶν φανερὸν, ὅτι τὸ πυρώδης τίς ἡ γένεσις αὐτῇ τὸ ὅλον ἐστίν.

ΘΕΟΦΡΑ-

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕ
ΡΙ ΙΧΘΥΩΝ.



ΗΣ τῶν ἰχθύων ἐν τῷ ξηρῷ διαμονῆς, δοκεῖ οἷον γὰρ παρὰ φύσιν τῷ ἀέρι καταψύχεσθαι, τὰ μὴ δεχόμενα τὸν ἀέρα μᾶλλον, ὅσα δέχεται τὸ ὑγρὸν, καὶ διὰ τοῦτο σώζεται. θαυμασιώτατον δ' εἴπερ ἀληθὲς τὸ τοῦ ἐξωκεέτου καλουμένου. τοῦτον γάρ φασιν, ὁσημέραι ποιεῖσθαι τὴν κοίτην ἐν τῇ γῇ· διὸ καὶ τοὔνομα εἰληφέναι. φαίνετο δ' οὖν εἴπερ δύνατο δραῦ, ἐπαμφοτερίζειν, οὐ τῇ τροφῇ καὶ τῇ ἀναγωγῇ, καθαπὲρ ἡ φώκη, καὶ ὁ μῦς, καὶ ἑτεράττα· καὶ τῶν ὀρνίθων δὲ πολλοί. ἀλλὰ καὶ τῷ δέχεσθαι καὶ τὸν ἀέρα καὶ τὴν θάλατταν, οὐχ οὕτως ὥσπερ ὁ δελφὶς καὶ ἑτεράττα. φύσει μὲν οὖν ὄντα ἀναπνευστικὰ, καὶ τὴν θάλατταν δεχόμενα, καὶ ἀναφύσαντα πρὸς τὴν χρείαν· ἀλλ' ἀμφότερα πρὸς τὴν τοῦ ζῆν διαμονήν. ἄτοπον δ' αὐτοῖς ἡ φύσις καὶ ἡ δύναμις εἴη. τὰ δ' ἐν ἰνδοῖς ἰχθύδια, τὰ ἐκ τῶν ποταμῶν εἰς τὴν γῆν ἐξιόντα καὶ πηδῶντα, καὶ πάλιν εἰς τὸ ὕδωρ ἀπιόντα, καθαπὲρ οἱ βατραχοι, θαυμαστὰ μὲν οὖν. οὐχ ὁμοίως δὲ τούτοις, ὅσῳ τὸ ὀλίγον χρόνον ἢ πολὺν, καὶ τελευταῖον ἧττον θαυμαστόν. ἡ δ' ὄψις ὁμοία τούτων τοῖς μαζίναις καλουμένοις. εἰσὶ δὲ καὶ περὶ βαβυλῶνα τινες, οὓς φασι διαμένειν ἐν ταῖς στρογγύλαις ταῖς ἐχούσαις ὑγρότητα ξηραινομένου τοῦ ποταμοῦ. τούτους δ' ἐξιόντας νέμεσθαι, καὶ βαδίζειν ὠθὶ τῶν πτερυγίων, καὶ ἅμα κινεῖν τὴν οὐρά· καὶ ὅταν διώκωντο, φεύγειν· καὶ εἰσδύντας, αὐτιπροσώπους ἵστασθαι. πολλάκις γὰρ προσιέναι τινὰς, καὶ ἐρεθίζειν. ἔχουσι δὲ τὴν μὲν κεφαλὴν ὁμοίαν βατράχῳ θαλαττίῳ, τὸ δ' ἄλλο σῶμα κοβιῷ, βραγχία δ' ὥσπερ οἱ ἄλλοι ἰχθύες. ὅτι δὲ οὐ πόδας ἔχουσιν, ἀλλ' ὠθὶ τῶν πτερυγίων βαδίζουσιν, τεθεώρηται· ἐλάμβανον γὰρ πολλοὺς οἱ διώκοντες. τὰ δὲ πτερύγια εὐμεγέθη. τὸ δ' ἐκ τῆς γῆς τὴν τροφὴν λαμβάνειν, οὐκ ἄτοπον. ἔνιοι γὰρ καὶ ἐν τῷ ὑγρῷ ὄντες, πηλὸν ἐσθίουσι, καὶ φύκος, καὶ τὰ τοιαῦτα. καὶ ὅλως δὲ εἴπερ ἐν τῷ ἀέρι διαγένητο καὶ τὸ τῆς τροφῆς, οὐκ ἄλογον. ἐπεὶ καὶ ὁ πολύπους ἐξιὼν λαμβάνει, καὶ ἡ μύραινα, καὶ ἀλλοῖοι δ' ὥς φασι. καὶ τὸ ὅλον οὐκ ἄλογον, ὥσπερ τῶν πεζῶν καὶ πτηνῶν ἔνια ταῖς ἐνύδροις χρῆτο. καὶ τὰ ἔνυδρα ταῖς ἐν τῇ γῇ, καὶ τῆς φύσιν ὁμοίως αὐταποδιδόναι τὸ ἀναλογον. φαίνεται δὲ καὶ ὁ ἵππος ὁ ποτάμιος τοιοῦτον. ἀλλ' ἐκεῖνο θαυμαστὸν, ὥσπερ εἴπομεν, εἴ τι δύναται τοῖς αὐτοῖς μορίοις ὡς ὀργανικοῖς, ὁτὲ μὲν ὑπαπᾶσθαι τὸν ἀέρα καὶ ἕλκειν, ὁτὲ δὲ τὸ ὑγρὸν δέχεσθαι. τάχα δὲ τούτου μᾶλλον. ἢ ὅτε μὲν ὁ ἀὴρ σύμμετρος πρὸς τὴν κατάψυξιν, ἢ ὅτι δή ποτέ ἐστιν ἐκ τῆς ἀναπνοῆς γινόμενον. ὅτε δὲ τὸ ὑγρόν. οὐ γὰρ ἅμα γ' ἄμφω. τὸ δὲ τῶν πολυπόδων, ἧττον θαυμαστόν. οὐ γὰρ δέχονται τῆς θάλατταν * καὶ οἱ κάραβοι καὶ οἱ ἀστακοὶ καὶ ἡ καρκῖνοι, καὶ τἄλλα τὰ τοιαῦτα * ὥστε μὴ μεγάλης ἄγαν τῆς μεταβολῆς οὔσης, ῥᾷον ὑπομένειν· ὃ καὶ περὶ τὰς ἐγχέλυς φαίνεται συμβαίνειν. πολὺν γὰρ χρόνον δύνανται ζῆν ἔξω τοῦ ὑγροῦ, διὰ τὸ μικρὰ τὰ βραγχία ἔχειν, καὶ ὀλίγον δέχεται τὸ ὑγρόν. καὶ τὴν μύραιναν, καὶ εἴ τι ἄλλο τοιοῦτον. ἢ καὶ τὸ ὅλον ὀφιώδες, ἥκιστα ἄτοπον. εὔλογον δὲ, καὶ ἐν τῷ ὕδατι μᾶλλον μὴ δύνασθαι διαμένειν, ὅσῳ λεπτότερον ὂν τῆς θαλάσσης ἐγγυτέρω τοῦ ἀστέρος ἐστι. καὶ τὸ φύσει γε ψυχρότερόν ἐστι· διὸ καὶ πολύπους φεύγει. καὶ διὰ τοῦτο περὶ ἑλλήσποντον, καὶ τὸν πόντον οὐκ ἔστιν. οἱ δ' ἰχθύες τίκτουσιν, ἀναπλέοντες εἰς τοὺς ποταμοὺς καὶ τὰς λίμνας, ὅτι εὐδία μᾶλλον κυμάτων καὶ πνευμάτων, καὶ τὰ θηρία ἐλάττω, καὶ οἱ κατεσθίοντες ὅλως καὶ διαφθείροντες ἰχθῦς. ἡ δὲ τῆς θαλάττης θερμότης ἐξ ἐκείνου φανερά, τῷ μὴ διαμένειν δύνασθαι ἐν ταύτῃ τὰ ἐκ τῶν ποταμῶν, ἀλλὰ μᾶλλον τὰ ἐκ τῆς θαλάττης ἐν τοῖς ποταμοῖς, καὶ ταῖς λίμναις. ἴσως δ' αὐτὸ τοῦτο πρότερον σκεπτέον, πότερον θερμότερον ὁ ἀὴρ, ἢ τὸ ὑγρόν. εἰ γὰρ ὁ ἀὴρ, ὥσπερ ἂν δόξειεν, ἐγγυτέρω γοῦν τοῦ πυρὸς, ἥττω ἀεὶ θερμὰ τὰ τούτῳ κατεχόμενα. τοῦτο δὲ εἰ μὴ καὶ πρὸς τὰ νῦν ὑπεναντίον· ἀλλὰ πρὸς ἐκείνην τῆς δόξαν τῆς λεγομένην, ὅτι θερμότατα πάντων τὰ ἔναιμα καὶ ζωοτόκα. περὶ μὲν οὖν τούτων ὑπασκεπτέον. οἱ δ' ὀρυκτοὶ τῶν ἰχθύων, εἰσὶ γὰρ ἐνιαχοῦ καὶ τοιοῦτοι, καθαπὲρ τῶν περὶ ἡράκλειαν, καὶ ἄλλοθι τῶν ἐν τῷ πόντῳ, γίνονται μὴ καὶ παρὰ τοὺς ποταμοὺς καὶ τὰ ἔνυδρα χωράφια. συμ

βαίνει δ' ἀναξηραινομένων τούτων ἐγκαταλειπομένους καὶ μικρὸν συστέλλεσθαι, καὶ διώκοντας τὴν ὑγρότητα δύεσθαι καὶ τῆς γῆς, εἶτα καταξηραινομένης διαμένειν ἐν τῇ ἰκμάδι, καθαπερ ἂν ἐν ταριχευομένους ἐν τῷ ζῆν. ἢ καὶ οὐ ἐν ταῖς φωλείαις διαναρκῶντας. ὅταν δὲ ἀνασκαπτῶνται, τότε κινεῖσθαι. πραπλήσιον δ' ἐστὶ τούτῳ καὶ ὧν τῶν ἐκπηγνυμένων ἐν τῷ πόντῳ· ὅθεν περιλαμβάνονται τῷ κρυσταλλῳ, καὶ οὐ πρότερον αἰσθάνοντες καὶ κινοῦντες, πρὶν εἰς τὰς λοπάδας ἐμβληθῆναι καὶ ἕψεσθαι. πάντων δὲ μάλιστα δοκεῖ πάσχειν οὗτος ὁ κωβιός. ὅλως δ' οἱ ὀρυκτοὶ γίνονται ἰχθύες, διὰ τὸ ὑπερβάλλοντας οὐ ποταμοὺς, ὅταν πάλιν εἰς τὸ ἀρχαῖον καθιστῶνται ῥεῖθρον, ἐγκαταλείπειν ἐν τοῖς ἀναξηραινομένοις ἔνθα μὲν ὠά, ἔνθα δὲ τοιαύτας ἀρχὰς, ἐξ ὧν ἡ γένεσις. ἔνια γὰρ οὐκ ἐκ ζώων, ὥσπερ ἡ ἐγχέλυς. δοκεῖ δ' αὕτη γίνεσθαι, καὶ ὁ καλούμενος κεντρίσκος, ὥσπερ καὶ ἐν ἡρακλείᾳ περὶ τὸν λύκον ποταμόν. ἐγκαταλειφθέντα δὲ ἀκμορφοῦνται, καὶ διαμένει. τὴν διαμονὴν δὲ οὐκ ἄτοπον εἶναι. τροφῆς γὰρ ὀλίγης δεῖται πολλὰ τῶν τοιούτων· ὥσπερ καὶ οἱ ὄφεις, καὶ τὰ φωλεύοντα. συμβαίνει δὲ καὶ ταύτην ἱκανὴν ἔχειν ὠὼν τὴν πρώτην, καὶ μετὰ ταῦτα τὴν ἐκ τῆς γῆς ἰκμάδα διαδομένην. οὐ μὴν μέγεθός τε τὰ τοιαῦτα λαμβάνειν, οὔτ' εἰκὸς, οὔτε φασί, διὰ τὸ μήτε χώραν ἔχειν, μήτε τροφὴν διαψιλῆ. δεῖ δὲ ἄμφω ταῦτα πρὸς τὴν αὔξησιν, τὸ δ' ἐν τῷ ἀέρι δύνασθαι διαμένειν, τούτοις μὲν οὐ παντελῶς ὑπάρχειν, τοῖς δ' ἐξιοῦσιν ἐκ τῶν τόπων καὶ νεμομένοις. αὐτοὶ δὲ μικρᾶς εἰώθασι δέεσθαι καταψύξεως· ὥστε σύμμετρον αὐτοῖς εἶναι τὴν ἀκρὸς τοῦ ἀέρος. δηλοῖ δὲ καὶ ἡ τῶν βραγχίων στενότης, ὡς οὐ πολλῆς δεομένου· διὸ καὶ ἄγχυσις ἔν τε τῷ ἀέρι πολὺν χρόνον ζῇ, καὶ ἐν τοῖς θολεροῖς ὕδασι τάχιστα ἀκρπνίγεται, καὶ ἅμα ἐν τοῖς γε ὀρυκτοῖς. καὶ ἡ ἀκρὸς τῆς γῆς ἀπόψυξις, ἐκ τῆς περιοχῆς, ἱκανὴν ποιεῖ τὴν βοήθειαν. ἴδιον δὲ τὸ παρὰ ταῦτα, καὶ λόγου δεόμενον, τὸ περὶ οὗ ἐν παφλαγονίᾳ ὀρυκοῦ ἰχθῦς. ὀρύττεσθαι γάρ φασιν ἐκεῖ κατὰ βάθους πλείονος ἀγαθοὺς καὶ πολλούς. τὸν δὲ τόπον οὔτ' ἐπίκλυσιν ποταμοῦ λαμβάνειν, οὔθ' ὕδατος σύστασιν. ἀφ' ὧν δὴ φαμὲν ἐγκαταλείπεσθαι τὰ ὠά, καὶ τὰς ἀρχὰς τῆς γενέσεως. λοιπὸν γὰρ δὴ αὐτομάτους φύεσθαι, καὶ οὗτος συνεχῶς. ἀδύνατος γὰρ ἡ πρὸς ἀλλήλους μίξις. εἴτε δὴ οὗτος, θετέον ὥσπερ ἐνύγρου τινὸς τῆς χώρας οὔσης. καὶ τὸ ὅλον γονίμου τῶν τοιούτων, διὰ τὸ συμμετρίαν τινὰ ἔχειν τοῦ θερμοῦ καὶ τοῦ ὑγροῦ. συμβαίνει γὰρ δὴ γίγνεσθαι καὶ ἑτέρους τινὰς αὐτομάτους ἰχθῦς, εἴτε διανοεῖν ἐκ τινων τόπων ὑγρότητας, αἳ συνεπιφέρουσι τὰς γεννώσας ἀρχάς. ὁ δὲ τόπος εὐφυής. διὸ καὶ δέχεται, καὶ ἐκτρέφει. σχεδὸν γὰρ οὐκ ἂν ἔτι πορρωτέρω τούτων. ἐκεῖνο δὲ ἄν τις σκέψαιτο περὶ ἀμφοτέρων τῶν γενῶν, τί τε ἐν τῷ ξηρῷ καὶ τῶν ὀρυκτῶν. ἆρα γε εἰς ὕδωρ ἀφιέμενον ζώη ἄν, ἢ τὴν οἰκείαν ζητοίη χώραν. καὶ οὗτος αὐτοῖς ὥσπερ φύσεις, καθαπερ καὶ οὗ ἐν θαλάττῃ καὶ τοῖς ποταμοῖς. οὐδὲ γὰρ ταῦτα δέχεται τὰς μεταβολὰς, πλὴν ὀλίγων. ἐπεὶ ὅσα γε διὰ τὴν ἀναξηρασίαν καταδύονται, καὶ ὅσοι περιλαμβάνονται τοῖς πάγοις, φανερὸν ὡς τούτοις γε οἰκεῖον τὸ ὑγρόν. εἰκὸς δὲ μᾶλλον καὶ τοῖς ὀρυκτοῖς καὶ τοῖς ἑτέροις· τοῖς μὲν ἁπλοῖς, τοῖς δ' ὡς ἀμφιβίοις καὶ Δημόκριτον. ὃ καὶ ἐπ' ἄλλων συμβαίνει. χρῆτες γὰρ ἔνια τῷ ἀέρι, καθαπερ ἐρρέθη πρότερον.

ΘΕΟΦΡΑ-

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕ
ΡΙ ΠΥΡΟΣ.



ΤΟΥ πυρὸς φύσις ἰδιαιτάτας ἔχει δυνάμεις τῶν ἁπλῶν. ἀὴρ μὲν γὰρ, καὶ ὕδωρ, καὶ γῆ, τὰς εἰς ἄλληλα μόνον ποιεῖται μεταβολὰς φυσικὰς, αὐτὸ δὲ αὑτοῦ γεννητικὸν οὐδέν. τὸ δὲ πῦρ, γεννᾶν καὶ φθείρειν πέφυκεν αὑτό· γεννᾶν μὲν, τὸ ἔλαττον, τὸ πλέον· φθείρειν δὲ, τὸ πλέον, τὸ ἔλαττον. ἔτι δὲ αἱ γενέσεις αὐτοῦ αἱ πλεῖσαι, καὶ οἷον μετὰ βίας. καὶ γὰρ ἡ πληγὴ τῶν στερεῶν, ὥσπερ λίθων, καὶ θλίψει καὶ πιέσει, καθάπερ τῶν πυρείων ὅσα ἔχει φοράς· ὥσπερ τῶν πυρουμένων, καὶ τηκομένων. ἐκ δ' αὖ τοῦ ἀέρος καὶ τοῖς νέφεσι συστροφαὶ καὶ θλίψεις. βίαιοι γὰρ δὴ αἱ φοραί, δι' ὧν δὴ οἱ πρηστῆρες καὶ κεραυνοὶ γίνοντες, καὶ ὅσους δὴ τρόπους ἄλλους τεθεωρήκαμεν, εἴθ' ὑπὲρ γῆς γινομένων, εἴτ' ὑπὸ γῆς, εἴτ' ἀπὸ γῆς· αἱ γὰρ πολλαὶ δόξαι εἶεν ἂν αὐτῶν μετὰ βίας. εἰ δ' ἄρα μὴ τοῦτ' ἀλλ' ἐκεῖνο γε φανερὸν, ὅτι πλείστας ἔχει γενέσεις, ὧν οὐδὲ μία τοῖς ἄλλοις ὑπάρχει, οὐδὲ ὅλως ὁ τρόπος οἰκεῖος. ἀλλὰ πάντων, ὥσπερ ἐλέχθη, φυσική τις μεταβολὴ καὶ γένεσις. διὸ κἀκείνων μὲν οὐθὲν ἐφ' ἡμῖν ποιεῖν. οὐδὲ γὰρ ὅταν τὸ ὕδωρ ὀρύττωμεν, αὐτὸ ποιοῦμεν, ἀλλ' εἰς ἐμφάνειαν ἄγομεν, τὸ κατὰ μέρος μεμερισμένον, ἀθροιζόμενοι. τὸ αὐτὸ δὲ φαίνετο οὐ καθ' ἕνα τρόπον, ἀλλὰ κατὰ πλείστους. μεγίστη δὲ αὕτη διαφορὰ δόξειεν ἂν εἶναι. τὰ μὲν γὰρ καθ' αὑτὰ, καὶ οὐ δὲ ἐν ὑποκειμένῳ, πλὴν ὅγε τῇ περὶ ἡμᾶς αἰσθήσει φανερὸν. εἴτ' ἀριθμητέον, εἴτε μὴ ἀριθμητόν γε τῶν φλογὸς καὶ τοῦ ἄνθρακος ὑποκειμένης. ἡ μὲν γὰρ καπνὸς καόμενον, τὸ δὲ γεῶδες τὸ στερεόν. ὁμοίως δὲ καὶ τὰ ἐν τοῖς μεταρσίοις ἐκπυρούμενα, καὶ τὰ ἐν τῇ γῇ. πάντα γὰρ ἢ ἀέρος τοιοῦδ', ἢ πυρός, ἢ ἀέρος ἅμα καὶ ὑγροῦ καὶ ἀέρος· ἢ πάντων, ἢ τοῖν δυοῖν. ἁπλῶς δ' ἀεὶ καὶ πᾶν καιόμενόν τι, καὶ ὥσπερ γενέσει καθάπερ ἡ κίνησις ἴδιον. καὶ γινόμενον φθείρεταί πως, καὶ ἅμα τῷ ὑπολιπεῖν τὸ καυστὸν, καὶ αὐτὸ συναπόλλυτος. οὗτος γὰρ καὶ καὶ τὸ πρὰ τῶν παλαιῶν λεγόμενον, ὅτι τροφὴν ἀεὶ ζητεῖ τὸ πῦρ, ὡς οὐκ ἐνδεχόμενον αὐτὸ διαμένειν ἄνευ τῆς ὕλης· ὃ καὶ ἄτοπον φαίνεται πρῶτον αὐτὸ λέγειν, καὶ οἷον ἀρχὴν μὴ οἷόν τ' εἶναι χωρὶς ὕλης. οὔτε γὰρ ἁπλοῦν οὕτω γε, οὔτε πρότερον τοῦ ὑποκειμένου καὶ τῆς ὕλης, εἰ μή τις ἐν αὐτῇ τῇ πρώτῃ σφαίρᾳ τοιαύτη φύσις, ὥστε ἄμικτον εἶναι θερμότητα καὶ καθαρὰν. οὕτω δὲ, οὐκ ἂν ἔτι καίοι. πυρὸς δ' αὕτη φύσις, πλὴν εἰ ἄρα γε πλείστους καὶ διαφόροι· καὶ ἡ μὲν πρώτη καθαρὰ καὶ ἄμικτος, ἡ δὲ περὶ τὴν τῆς γῆς σφαίραν μεμιγμένη, καὶ ἀεὶ κατὰ γένεσιν. ἡ δ' ἀρχὴ πρότερον ἀπ' ἐκείνης αὐτῷ τῆς γενέσεως, ἢ ἀπὸ τῶν ὑποκειμένων. ὅταν ἐν κινήσει τοιαῦδε τῶν διαθέσει πρὸς ἄλληλα γένωνται, καθάπερ ἀρτίως ἐλέγομεν ἐπ' ἀμφοῖν. καὶ γὰρ ἡ κίνησις ἡ τοιαῦδε, καὶ ἀλλοίωσις εἰς τὴν τοῦ θερμοῦ πῶς ἀναγεται φύσιν. ὁ γὰρ ἥλιος, ὁ ταῦτα πάντα δημιουργῶν· πάλιν ἡ τοῦ ἡλίου ἡ μὲν τοῦ πυρός τις ἰδία, πλείστην ἂν τῶν μεγίστην ἔχει διαφορὰν, ἀρχή τις οὖσα, καὶ πρὸς αὐτὰ ἥκουσα. καὶ γὰρ φῶς ἀπὸ τούτου καὶ ἡ γόνιμος ἐν τοῖς ζώοις καὶ φυτοῖς θερμότης. ἔτι δὲ ἡ τοῦ γεώδους καὶ καιομένου τούτου πυρὸς, δυνατὴ διὰ τούτου γίνεσθαι. πολλοὶ γοῦν καὶ ἐξάπτοντες, ὑπολαμβάνουσιν εἶναι τῆς αὐγὴν ἀπὸ τοῦ ἡλίου. εἰ δὲ μή ἐστι πῦρ, μηδὲ πηρὸς φῶς, αὐτὸ μὲν οὗτος θαυμαστὸν καὶ * εἰ δὲ μήθ' ὑπὸ * καὶ διὰ οὗτον ἡ θερμότης. ἐκεῖνο δὲ φανερῶν, ὡς ἐν ὑποκειμένῃ τινὶ καὶ τὸ πῦρ καὶ ὁ ἥλιος τὸ θερμόν. ἄτοπον δὲ καὶ οὗτος πάλιν, εἰ ἀρχὴ καὶ τὸ πρῶτον ἐν ὑποκειμένῳ. τὸ γὰρ θερμὸν, καὶ ἡ τούτου δυνάμις ἀρχή. κοινότερον γὰρ οὗτος, καὶ ὑπὸ πλείω διήκει· καὶ κυριώτερον ἀλλοιώσεως καὶ φυσικῆς γενέσεως. τὸ δὲ πῦρ, ὡς εἴρηται, γεννητικὸν μὲν αὐτοῦ, φθαρτικὸν δὲ ὡς ἐπὶ πάντων ἄλλων. ὅθεν καὶ δῆλον, ὡς ἑτέρα τις ἡ φύσις πυρὸς καὶ θερμοῦ. νῦν δὲ λέγομεν, ὅταν ἐν τῷ γεώδει καὶ ἀερώδει τῆς ξηρᾶς ἀναθυμιάσεως, καυστικὴ γένητος θερμότης, ἣν περ οὐχ οἷόν τ' ἐν τοῖς ὑγροῖς ὑπάρχειν, πλὴν ὥσπερ σάρκα λέγομεν λέγειν. ἀλλὰ γὰρ ταῦτα ἔοικεν εἰς μείζω τινὰ σκέψιν ἐκφέρειν ἡμᾶς τῶν ὑποκειμένων, ἢ ζητεῖ τὰς πρώτας αἰτίας. φαίνεται γὰρ οὕτω λαμβάνουσι τὸ θερμὸν καὶ τὸ ψυχρὸν, ὥσπερ παθη τινῶν εἶναι, καὶ οὐκ ἀρχαὶ καὶ δυνάμεις. ἅμα δὲ καὶ ἡ τῶν ἁπλῶν λεγομένων φύσις μικτή τις, καὶ ὑπάρχουσα ἀλλήλοις. ὥσπερ γὰρ οὐδὲ τὸ πλεῖν ἄνευ ἀέρος, ἢ ὑγροῦ τινος καὶ γεώδους εἶναι

λος ἐστὶν ὁ ὠμὸς τοῦ, ὅτως ὁ δὲ τὸ ὑγρὸν ἄνυδρον πυρός, ὁ δὲ τῷ γῆν ἄνυδρον ὑγρόν. σημεῖον δὲ τὸ μὴ γὰρ πήγνυσθαι ἀλλὰ τῷ ἐκθλίβειν, ἢ ὅτι ἂν συμμένειεν ἀπλέποντος πάντη ἢ πάντως τὸ ὑγρόν. διὸ καὶ τὰ φαίνεται ἰσοινά, καὶ δέοιντο διορισμοῦ, ὡς ποτε χρὴ τὰ ἁπλᾶ λέγειν. τὰ δὲ τούτων πρότερα μιχθέντα μέζους ἔχει ζητήσεις, ὥσπερ εἴπομεν. ἐκεῖνο δ' ἐξ ἁπάντων φανερόν, ὡς ἡ τοῦ πυρὸς φύσις, ἰδιαιτάτας ἔχει τὰς πλείστας διαλλαγάς, διαπερ καὶ ἀρχὴ τοῦ λόγου ἐλέχθη. τὴ γὰρ αὐτὸ τὸ πολυειδὲς αὐτοῦ, τὴ δ' ἰσοπαμμιγὲς, καὶ ἁπασι τοῖς τόποις ἰδιότητα μενυὴ φύσεως. ὅσα δὲ μὴ τῶν ἄλλων ὅσα τοιαῦτα πολυειδίας, ὅτι ἀνώμαλον ταῖς διαλλαγαῖς, ὁ δ' αὐτὴ τῇ φύσει διάφορον, ὅτι διῆκον εἰς πάντας καὶ † διαπεμερισμένον οὖν τόπους. ἀφέντας γὰρ τὸ μέζω τὸ πρότερον, πειρατέον ὥσπερ τῶν ἐλαττόνων λέγειν, ἀρξαμένους ἀπὸ τῆς γενέσεως αὐτοῦ τὴ φθορᾶς, ἢν ὑφ' αὑτοῦ ποιῆται. διαπερ ἢ εἰς ταῦτα τὸ μικρῷ πρότερον εἰρημένον, ὃ καὶ τῇ αἰσθήσει φανερόν, ὡς γὰρ ὑποκειμένῳ πως ἡ φύσις αὐτοῦ τὸ ὅλον ἀλλοιουμένῳ καὶ πάσχοντι. τοῦτο γὰρ πέφυκεν, ὕλῃ ἦν τὴ καὶ ἡ γένεσις καὶ ἡ φθορά· γεννᾷ μὲν γὰρ ἀεὶ πλεῖον καὶ ἔλαττον καὶ ὁμοιούμενον. συμβαίνει δὲ καὶ ἀπολήγειν αὐτοῦ γίνεσθαι τινά, διατανάλισκομένης αὐτοῦ τὴ ὑγρότητος ὑπὸ τοῦ πυρὸς καὶ φθείρει δ' ὅταν πλησίον πέσῃ τοῦ πλείονι τὸ ἔλαττον, εἴτε τῇ τροφὴν ἀφαιρούμενον, εἴτ' ἐξαιροῦν τῇ ἀρχήν, καὶ διαμαραῖνον τοῦ ὑπερισχύον. οὔτε γὰρ ἄνυδρον ὑγρότητος οὐδὲν διαμένον, οὔτε ταύτης χωρὶς ὑπάρχουσης, ἐὰν μὴ ἔχῃ δύναμιν τῇ ἐργαζομένῳ. ὁμοίως δὲ καὶ ὑπὸ τοῦ πνίγεσθαι σβέσις. καὶ γὰρ ὑπὸ τοῦ θερμοῦ ἀπορρεῖν θερμόν, ἐκμαραίνει καὶ ξηραίνει τῇ ἀρχῇ, ὥσπερ αὖ θλίψιν τινὰ ποιοῦσα καὶ ἀποπίδυσιν. διὸ καὶ οὐκ ἀπαθῶς τοὔνομα τοῦ καταπνίγεσθαι τὸ πῦρ· καὶ γὰρ ὅλον ὁ ἀὴρ πυκνωθεὶς διὰ αὐτὸ ὥσπερ ἀφῶν, καὶ πυρωθεὶς ἔτι μᾶλλον ἢ θᾶττον. διὰ τὰς αὐτὰς δὲ καὶ παραπλησίους αἰτίας, καὶ ὑπὸ τοῦ ἥλιον τὸ πῦρ ἧττον καίειν, ἢ ὑπὸ τῆ σκιᾷ. καὶ οἱ λύχνοι φαίνονται ἧττον καιόμενοι πυρός. καὶ ἀπροσδέητον ὅλως, ἐὰν ὑπὲρ ᾖ φλογός τινα. καὶ γὰρ ὑπὸ τοῦτο καταμαραίνεται, καὶ διὰ τὸ ἀρχὴν τὸ πλέον. ἀντικειμένη δὲ τούτῳ διὰ τὴν αὐτὴν αἰτίαν, καὶ παρόμοιον τὰ καιόμενα θᾶττον καταπαύεται χειμῶνος ἢ θέρους. ἀδιαχώρητον γὰρ ποιεῖ τὸ πῦρ τὸ θέρος, ὥσπερ καὶ ὁ ἥλιος καὶ αὐτὸ τὸ πῦρ, τὸ φῶς. ὁ δὲ χειμὼν καὶ τὸ περιέχον καὶ τὸ ἀέρος ψυχρὸν ἀθροίζει, συμπυκνούμενον δὲ παῖ ἰσχυρόν. διὸ καὶ τοῖς λαμπτῆρσι φῶς ὑπὸ πλεῖον φαίνεται. ὅλως δὲ συνεστηκὸς καὶ ἀθρόως ἡ δύναμις ἰσχυροτέρα, καθάπερ τὸ βάρους. ὥσπερ γὰρ μεῖζον γίνεται. πολλὰ δὲ φιλοῦντα ἀπὸ τοῦ θερμοῦ λαβεῖν ὕδωρ, οἷον τὰ ἀλειπτήρια, καὶ τὰ βαλανεῖα θερμότερα· τὴ χειμῶνος ἢ θέρους, καὶ βορείοις ἢ νοτίοις. συνεσπάσθαι δὲ μᾶλλον τοῦ χειμῶνι, καὶ συγκατακεκλεῖσθαι τὸ θερμὸν ὑπὸ τοῦ περιέχοντος ἀέρος, καὶ τὰ σώματα πρὸς τὰς τροφὰς μᾶλλον· καὶ ὅλως ἰσχυρότερα τοῖς χειμῶσίν ἐστιν, ὅτι συνήθροισαι καὶ αὐτὰ πρόδιέσηκε τοῦ θερμοῦ. ἐκ ταύτης δὲ τῆς αἰτίας καὶ τὸ ψυχρὸν φιλαχθῆναι δοκεῖ τὸ αὐτὸ ποιεῖν τοῦ θερμοῦ, καὶ ἁπλῶς, ὑπὸ ταῖς ὑποβολαῖς. πρὸς τῇ γε φασι οὖν λαρπτὸς τὰ ψύχη, καὶ ἀφαιρεῖν καὶ τὸ λαῦμα καὶ τὸ ψυχρὸν, ὀρθῶς λέγοντες. ἀφαιρεῖ γὰρ ὅτω καὶ πρὸς τὸ ψυχρὸν, ὁ προηγουμένως, ἀλλὰ κατὰ συμβεβηκός, ὅτι συστέλλει καὶ φιλάγει τὸ θερμὸν ὑπὸ τὸ ἐργαζόμενον ἐκεῖνο, πλέον δὲ ὂν καὶ ἰσχυρὸν μᾶλλον. ἡ αὐτὴ δ' αἰτία, καὶ ὅτι τοῖς λιποψυχοῦσι ψυχρὸν ὕδωρ προχέουσιν, ψυχροῦ τοῦ πάθους ὄντος. συνέχει γὰρ καὶ ἀγιγνόμενον διαλύει τὸ θερμὸν, ἐμφραῦπον οὖν πόρους, καὶ κατάψυχον τὸ πρόσω. ἀθροῖσαι γὰρ ὑπὲρ δεῖ, καὶ ἀναπαλέσαθαι. διὸ καὶ κατέχειν τινὲς διελθύσει τὸ πνεῦμα τοῦ ἑλκυομένου. ἅμα γὰρ διαθερμαίνεται καὶ τὸ ἐντὸς, καὶ ὁ ἱδρὼς ἐμπίπτων λύει τὴν λιποθυμίαν. ψύχει δὲ καὶ θερμαίνει τὸ μὲν τῇ σκιᾷ, ἢ τοῦ ἥλιον, διὰ τὸ ψυχρότερον εἶναι τὸ πρόσω. ἐκθλίβεται γὰρ μᾶλλον τὸ θερμόν. καὶ τὰ ἐπὶ γῆς δὲ θερμότερα τοῦ χειμῶνος ἢ τοῦ θέρους, διὰ τὴν αὐτὴν αἰτίαν. ἔνια γὰρ καὶ αὐαίνει μᾶλλον. τὸ δὲ θερμαινόμενον ὕδωρ οὐχ ὁμοίως ὑποβρύχει, καὶ τοῦ θέρους μᾶλλον θερμαινόμενον, ὡς εἰπεῖν· ὅτι τὸ ὑποβρύχειν ἐστὶν ἀποβολῇ τοῦ πομφολύγων. αὕτη δ' ἐχ ὁμοίως ἄρτι ἀναντι, διὰ τὴν ψυχρότητα τοῦ πρόσω ἔχον τος ἀέρος· θλίβει γὰρ ὅτος, καὶ ὥσπερ ὑπόπτη. διὸ καὶ ἰσχὺν συμπίπτουσιν ἅμα τοῦ τε πλήθει, καὶ τοῖς ὄγκοις ἐλαττόνες γίνονται· τοῦ δὲ θέρους αὐάπαλιν. ὅτι δὲ ἰσχυρὸν εἰς τὸ ἀναγαγεῖν καὶ συναθροῖσαι τὸ θερμὸν, σημεῖον καὶ τὰ τηκόμενα καὶ τὰ ῥαγνύμενα τῶν ἐλατῶν καὶ χυτῶν,

καθίστορον

λιατεμεμερισμένους

